30 ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

CAP. XII. ιβ.

In illo tempore abiit Iesus Sabbatis per
1 Ἐν ἐκείνῳ τῷ καιρῷ, ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασι διὰ
sata: ‖ at discipuli eius esurierunt, & cœperunt vel-
τῶν σπορίμων· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλ-
lere spicas, & manducare. Verùm Pharisæi videntes, dixerunt
2 λειν στάχυας, καὶ ἐσθίειν. οἱ δὲ Φαρισαῖοι ἰδόντες, εἶπον
ei: Ecce discipuli tui faciunt quod non licet facere in Sab-
αὐτῷ, ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαβ-
bato. Ille verò dixit eis: Non legistis quid fecerit Dauid
3 βάτῳ. ὁ δὲ εἶπεν αὐτοῖς, οὐκ ἀνέγνωτε τί ἐποίησε Δαυίδ,
quando esuriit ipse & qui cum eo ‖? Quomodo intrauit in do-
4 ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλθεν εἰς τὸν οἶ-
mum Dei, & panes propositionis comedit, quos non licitum erat
κον τοῦ θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν ἦν
ei edere, neque his qui cum eo, nisi Sacerdotibus solis?
αὐτῷ φαγεῖν, οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις;
Aut non legistis in Lege, quia Sabbatis Sacerdotes in
5 ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ, ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν
‖ sacro Sabbatum violant, & inculpati sunt?
τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσι;
Dico autem vobis, ‖ quòd sacro maior est hic.
6 λέγω δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ μείζων ἐστὶν ὧδε.
Si autem sciretis quid est; Misericordiam volo, & non sacrificium, nunquã
7 εἰ δὲ ἐγνώκειτε τί ἐστιν, ἔλεον θέλω, καὶ οὐ θυσίαν, οὐκ ἂν
condemnassetis inculpatos. Dominus enim est Sabbati
8 κατεδικάσατε τοὺς ἀναιτίους. κύριος γάρ ἐστι τοῦ σαββάτου

Marginal notes (left): ‖ eum ‖ est. — ἐμπρο-σθέν ‖ est. — Nolite arbitrari quia pacé venerim mittere ‖ separare — Qui amat ‖ plus quam ‖ qui amat — ‖ accipit — Qui inuenit — qui perdiderit — Qui recipit ‖ recipit: — recipit, recipit eum qui misit ‖ Qui recipit ‖ nomine ‖ accipiet: ‖ qui recipit ‖ nomine ‖ accipiet. — λαμβάνω ‖ potum dederit vni ex minimis istis calicem aquæ ‖ nomine — consummasset ‖ præcipiens ‖ vt doceret & prædicaret — Ioãnes autem cùm audisset in vinculis ‖ de discipulis suis, — qui venturus es — ἀποκρίνω ‖ auditis & vidistis ‖ ambulant, — illis autem abeuntibus, — ad turbas — videre? ‖ ἐξέρχομαι — vestitum? ‖ qui mollibus vestiuntur ‖ ἀμφιέννυμι — Etiam ‖ plusquàm Prophetam. — surrexit inter natos ‖ ἐγείρομαι ‖ qui autem ‖ est — A diebus autẽ

Marginal notes (right): ‖ qui venturus est ‖ Qui habet ‖ audiendi, ‖ similem æstimabo ‖ qui clamãtes coæqualibus dicunt: Cecinimus — ‖ vorax — suis. ‖ ciuitatibus, ‖ virtutes ‖ egissent pœnitentiam ‖ Corozaim, — virtutes quæ factæ sunt ‖ cilicio ‖ pœnitentiam egissent. Verùtamen — nunquid ‖ in exaltaberis? ‖ in ‖ descendes. ‖ virtutes quæ factæ sunt in te, forte — καταβιβάζω — in hanc diem. Veruntamen ‖ quia — ἀποκρύπτω ‖ prudentibus, ‖ paruulis. — παραδίδωμι ‖ nouit ‖ nouit. — qui laboratis, ‖ estis, ‖ reficiam ‖ φορτίζομαι. — Iugum enim meũ suaue est. — Sabbato ‖ discipuli autẽ eius esurientes, ‖ Pharisæi autẽ ‖ eis ‖ Sabbatis. At ille ‖ ἀναγινώσκω ‖ erant: ‖ licebat ‖ erant. — templo ‖ sine crimine ‖ βεβηλόω ‖ quia templo — innocentes. ‖ etiam

Filius hominis. Et *transiens inde, venit in sy-
ὁ υἱὸς τοῦ ἀνθρώπου. καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς τὴν συ- 9
nagogam eorum. Et ecce homo erat manum habens
ναγωγὴν αὐτῶν. καὶ ἰδοὺ ἄνθρωπος ἦν τὴν χεῖρα ἔχων 10
aridam: & interrogabant eum, dicentes: Si licet Sabbatis
ξηράν· καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες, εἰ ἔξεστι τοῖς σάββασι
curare? vt accusarent eum. Ipse autem dixit illis:
θεραπεύειν; ἵνα κατηγορήσωσιν αὐτοῦ. ὁ δὲ εἶπεν αὐτοῖς, 11
Quis erit ex vobis homo qui ‖habebit ouem vnam: & si cecide-
τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέ-
rit hæc Sabbatis in foueam, nonne apprehendet eam & eriget?
σῃ τοῦτο τοῖς σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ;
Quanto igitur præstat homo oue? Itaque licet Sab-
πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου; ὥστε ἔξεστι τοῖς σάβ- 12
batis benefacere. Tunc ait homini exsicca-
βασι καλῶς ποιεῖν. τότε λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμέ- 13
tam habenti manum: Extende manum tuam. Et extendit: & resti-
νην ἔχοντι τὴν χεῖρα, ἔκτεινον τὴν χεῖρά σου. καὶ ἐξέτεινε· καὶ ἀπεκα-
tuta est *sana, sicut altera. ‖At Pharisæi consilium capiebant
τεστάθη ὑγιὴς ὡς ἡ ἄλλη. οἱ δὲ Φαρισαῖοι συμβούλιον ἔλαβον 14
aduersus eum, exeuntes vt eum perderent. *At Iesus
κατ᾽ αὐτοῦ ἐξελθόντες, ὅπως αὐτὸν ἀπολέσωσιν. ὁ δὲ Ἰησοῦς 15
cognoscens, recessit inde: & secutæ sunt eum turbæ mul-
γνοὺς, ἀνεχώρησεν ἐκεῖθεν· καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολ-
tæ, & curauit eos omnes. Et ‖increpauit eos
λοὶ, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας· καὶ ἐπετίμησεν αὐτοῖς 16
vt ne manifestum eum facerent. Vt adimpleretur pronuntiatũ
ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν· ὅπως πληρωθῇ τὸ ῥηθὲν 17
per Esaiam prophetam, dicentem: Ecce puer meus quem
διὰ Ἠσαΐου τοῦ προφήτου, λέγοντος· ἰδοὺ ὁ παῖς μου, ὃν 18
elegi: dilectus meus, in quo *delectata est anima mea. Po-
ᾑρέτισα· ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου. θή-
nam Spiritum meum super eum, & iudicium gentibus ‖annun-
σω τὸ πνεῦμά μου ἐπ᾽ αὐτόν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγ-
tiabit. Non contendet, neque clamabit, neque audiet aliquis in
γελεῖ. οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν 19
plateis vocem eius. ‖Calamum contritum
ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. κάλαμον συντετριμμένον 20
non confringet, & linum fumigans non extinguet, donec eiiciat *in
οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς
victoriam iudicium: Et ‖nomini eius gentes sperabunt.
νῖκος τὴν κρίσιν· καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι. 21
Tunc *allatus est ei dæmoniacus, cæcus & mu-
τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος, τυφλὸς καὶ κω- 22
tus: & curauit eum, ita vt cæcum & mutum & loqui
φός· καὶ ἐθεράπευσεν αὐτὸν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λαλεῖν
& videre. Et stupebant omnes turbæ, & dicebant: Nũquid
καὶ βλέπειν. καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι, καὶ ἔλεγον, μήτι 23
hic est ille Christus filius David? ‖At Pharisæi audientes,
οὗτός ἐστιν ὁ χριστὸς ὁ υἱὸς Δαβίδ; οἱ δὲ Φαρισαῖοι ἀκούσαντες 24
dixerunt: Hic non eiicit dæmones, si non in Beelze-
εἶπον, οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζε-
bub principe dæmoniorum. Sciens autem Iesus co-
βοὺλ ἄρχοντι τῶν δαιμονίων. εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐν- 25
gitationes eorum, dixit eis: Omne regnum diuisum
θυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς, πᾶσα βασιλεία μερισθεῖσα
contra se, desolabitur: & omnis ciuitas vel domus diuisa
καθ᾽ ἑαυτῆς, ἐρημοῦται· καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα
contra se, non stabit. Et si satanas satanam
καθ᾽ ἑαυτῆς, οὐ σταθήσεται· καὶ εἰ ὁ σατανᾶς τὸν σατανᾶν 26
eiicit, in seipsum diuisus est: quomodo ergo stabit regnum
ἐκβάλλει, ἐφ᾽ ἑαυτὸν ἐμερίσθη· πῶς οὖν σταθήσεται ἡ βασιλεία
eius? Et si ego in Beelzebub eiicio dæmones,
αὐτοῦ; καὶ εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ 27
filij vestri in quo eiiciunt? *Propter hoc ipsi vestri erunt iudices.
υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ ὑμῶν ἔσονται κριταί.
Si autem ego in spiritu Dei eiicio dæmones, igitur
εἰ δὲ ἐγὼ ἐν πνεύματι θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα 28
peruenit in vos regnum Dei. Aut quomodo potest
ἔφθασεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. ἢ πῶς δύναταί 29
quisquam intrare in domum fortis, & vasa eius diri-
τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρ-
pere ‖si non primum alligauerit fortem, & tunc domum illius
πάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὴν οἰκίαν αὐτοῦ
diripiet? Non existens mecum, contra me est: & qui non
διαρπάσει; ὁ μὴ ὢν μετ᾽ ἐμοῦ, κατ᾽ ἐμοῦ ἐστι· καὶ ὁ μὴ 30
congregat mecum, spargit. Propter hoc dico vobis:
συνάγων μετ᾽ ἐμοῦ, σκορπίζει. διὰ τοῦτο λέγω ὑμῖν, 31
omne peccatum & blasphemia remittetur hominibus:
πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ
verum Spiritus blasphemia, non remittetur hominibus.
δὲ τοῦ πνεύματος βλασφημία, οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις.
Et quicunque dixerit verbum contra Filium hominis, remittetur
καὶ ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται 32
ei: qui autem dixerit contra Spiritum sanctum, non re-
αὐτῷ· ὃς δ᾽ ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφε-
mittetur ei neque in nunc seculo, neque in futuro.
θήσεται αὐτῷ οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.
Aut facite arborem *pulchram, & fructum eius ‖pulchrum.
ἢ ποιήσατε τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν· 33

aut facite arborem *cariosam, & fructum eius ‖cariosum:
ἢ ποιήσατε τὸ δένδρον σαπρὸν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν.
ex enim fructu arbor agnoscitur. Progenies vi-
34 ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. γεννήματα ἐχι-
perarum, quomodo potestis bona loqui *mali existentes? ex enim
δνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες; ἐκ γὰρ τοῦ
abundantia cordis os loquitur.
35 περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ.
Bonus homo de bono thesauro ‖eiicit
ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ ἐκβάλλει
bona: & malus homo, de malo thesauro ‖e-
ἀγαθά· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκ-
iicit mala. Dico autem vobis, quòd omne verbum otiosum quod
36 βάλλει τὰ πονηρά. λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν
locuti fuerint homines, reddent de eo rationem in
λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσιν περὶ αὐτοῦ λόγον ἐν ἡ-
die iudicij. Ex enim verbis tuis iustificaberis, & ex
37 μέρᾳ κρίσεως. ἐκ γὰρ τῶν λόγων σου [a]δικαιωθήσῃ, καὶ ἐκ τῶν
verbis tuis condemnaberis. Tunc responderunt ‖ quidam
38 λόγων σου [b]καταδικασθήσῃ. τότε ἀπεκρίθησάν τινες τῶν
Scribarum & Pharisæorum, dicentes: Magister, volumus
γραμματέων καὶ Φαρισαίων, λέγοντες· διδάσκαλε, θέλομεν
à te signum videre. *Ille autem respondens ait illis:
39 ἀπό σου σημεῖον ἰδεῖν. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς,
Generatio mala & adultera signum ‖appetit: & signum non
γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον οὐ
dabitur ei, si non signum Ionæ Prophetæ.
δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου.
Sicut enim fuit Ionas in ventre ceti *tres dies &
40 ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ
tres noctes: sic erit Filius hominis in corde
τρεῖς νύκτας· οὕτως ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς
terræ *tres dies & tres noctes. Viri Niniuitæ *re-
41 γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. ἄνδρες Νινευῖται ἀνα-
surgent in iudicio cum generatione ista, & condemnabunt
στήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν
eam. quia pœnituerunt in prædicationem Ionæ: & ecce plus
αὐτήν· ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον
Iona hic. Regina Austri excitabitur in iudicio cum
42 Ἰωνᾶ ὧδε. βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ
generatione ista, & condemnabit eam: quia venit à fini-
τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτήν· ὅτι ἦλθεν ἐκ τῶν περά-
bus terræ audire sapientiam Salomonis: & ecce plus Sa-
των τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος· καὶ ἰδοὺ πλεῖον Σο-
lomon hic. Cùm autem immundus spiritus exierit
43 λομῶνος ὧδε. ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ
ab homine, ambulat per *inaquosa loca, quærens re-
ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι᾽ ἀνύδρων τόπων, ζητοῦν ἀνά-
quiem, & non inuenit. Tunc dicit: Reuertar in do-
44 παυσιν, καὶ οὐχ εὑρίσκει. τότε λέγει, ἐπιστρέψω εἰς τὸν οἶ-
mum meam vnde exiui. Et veniens inuenit *vacantem, sco-
κόν μου ὅθεν ἐξῆλθον. καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα, σε-
pis *purgatam, & ornatam. Tunc vadit, & as-
45 σαρωμένον, καὶ κεκοσμημένον. τότε πορεύεται, καὶ πα-
sumit ‖cum se septem alios spiritus nequiores se ipso,
ραλαμβάνει μεθ᾽ ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ,
& intrantes habitant ibi: & fiunt nouissima hominis
καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου
illius peiora prioribus. Sic erit & generationi huic
ἐκείνου, χείρονα τῶν πρώτων. οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ τῇ
*nequam. Adhuc autem eo loquente ‖turbis, ecce mater
46 πονηρᾷ. ἔτι δὲ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, ἰδοὺ ἡ μήτηρ
& fratres eius stabant foris, quærentes ei lo-
καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν ἔξω, ζητοῦντες αὐτῷ λα-
qui. Dixit autem quidam ei: Ecce mater tua & fratres tui
47 λῆσαι. εἶπε δέ τις αὐτῷ, ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου
foris stant, quærentes ‖tibi loqui. At ipse respondens
48 ἔξω ἑστήκασι, ζητοῦντές σοι λαλῆσαι. ὁ δὲ ἀποκριθεὶς
ait dicenti sibi: Quæ est mater mea, & qui sunt
εἶπε τῷ εἰπόντι αὐτῷ, τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες εἰσὶν οἱ
fratres mei? Et extendens manum suam in disci-
49 ἀδελφοί μου; καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθη-
pulos suos, dixit: Ecce mater mea & fratres mei. Quicunque enim
τὰς αὐτοῦ, εἶπεν· ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. ὅστις γὰρ ἂν
fecerit voluntatem Patris mei qui in cælis, ipse meus
ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου
frater, & soror, & mater est.
ἀδελφός, καὶ ἀδελφή, καὶ μήτηρ ἐστίν.

CAP. XIII. ιγ´.

In verò die illo exiens Iesus de domo,
1 Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τῆς οἰκίας,
sedebat ‖secundum mare. Et congregatæ sunt ad eum
2 ἐκάθητο παρὰ τὴν θάλασσαν. καὶ συνήχθησαν πρὸς αὐτὸν
turbæ multæ ita vt ipsum in nauiculam *ascendentem sedere &
ὄχλοι πολλοὶ, ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα καθῆσθαι· καὶ
omnis turba in littore stabat. Et locutus est eis
3 πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει. καὶ ἐλάλησεν αὐτοῖς
multa in parabolis, dicens: Ecce exiit seminator
πολλὰ ἐν παραβολαῖς, λέγων· ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ

*cùm inde transisset. ἐπερωτέω. ‖habeat. ἔχω. tenebit & leuabit eam? magis melior est. *sanitati. ‖Exeuntes autẽ Pharisæi, consilium faciebãt. quomodo. *Iesus autem sciens. secuti. multi. ‖præcepit eis. quod dictum est. *bene complacuit animæ meæ. αἱρέω. ‖nuntiabit. ‖Arundinem quassatam. *ad. κατάγω. ‖in nomine. ἐν. *oblatus est ei dæmonium habens. προσφέρω. loqueretur & videret. ‖Pharisæi autẽ. nisi. μερίζω. aduersus se. Ideo. φθάνω. ‖nisi prius. δέω. Qui non est. ‖Ideo. ‖Spiritus autẽ. hos. *bonam. ‖bonum.

*malam. ‖malum: siquidem ex. *cùm sitis mali. ‖profert. ‖profert. quoniam. [a]δικαιόομαι. [b]καταδικάζομαι. ‖ei. de Scribis & Pharisæis. *Qui. ‖quærit. nisi. *tribus diebus & tribus noctibus. ‖tribus diebus & tribus noctibus. *surgent. ἀνίστημι. pœnitentiam egerunt in prædicatione. ‖quàm Ionas. surget. quàm. *loca arida. *eam. *mundatam. κοσμέω. ‖secum. *pessimæ. ‖ad turbas. ἑστήκω. ‖te alloqui. est. *secus. συνάγω. *ascendens, sederet. qui seminat.

seminare. Et *in seminare ipsum, hæc quidem ceciderunt secus viam,
σπείρειν. καὶ ἐν τῷ σπείρειν αὐτὸν, ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν, 4
& venerunt volucres", & comederunt ea. Alia autem
καὶ ἦλθε τὰ πετεινὰ, καὶ κατέφαγεν αὐτά. ἄλλα δὲ 5
ceciderunt in petrosa, vbi non habebant terram multam. & continuò
ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχε γῆν πολλὴν, καὶ εὐθέως
exorta sunt, ‖propter non habere altitudinem terræ. Sole autem or-
ἐξανέτειλε, διὰ τὸ μὴ ἔχειν βάθος γῆς. ἡλίου δὲ ἀνατεί- 6
to, æstuauerunt: & *propter non habere radicem, exaruerunt.
λαντος ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη.
Alia autem ceciderunt in spinas: & ‖insurrexerunt spinæ,
ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι, 7
& suffocauerunt ea. Alia autem ceciderunt in terram
καὶ ἀπέπνιξαν αὐτά. ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν 8
bonam, & dabant fructum, hoc centum, hoc autem sexaginta, hoc autem
καλὴν, καὶ ἐδίδου καρπὸν, ὃ μὲν ἑκατὸν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ
triginta. "Habens aures audire, audiat.
τριάκοντα. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. 9
Et accedentes discipuli, dixerunt ei: Quare in pa-
καὶ προσελθόντες οἱ μαθηταὶ, εἶπον αὐτῷ, διατί ἐν πα- 10
rabolis loqueris eis? ‖Ille autem respondens, ait illis:
ραβολαῖς λαλεῖς αὐτοῖς; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, 11
Quia vobis datum est nosse mysteria regni cælorum:
ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν,
illis autem non est datum. *Quisquis enim habet, dabitur ei, &
ἐκείνοις δὲ οὐ δέδοται. ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ, καὶ 12
abundabit. qui autem non habet, & quod habet auferetur ab eo.
περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ.
‖Propter hoc in parabolis eis loquor, quòd videntes non
διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ 13
vident, & audientes non audiunt, neque intelligunt:
βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσιν·
Et *readimpletur eis prophetia Esaiæ, ‖di-
καὶ ἀναπληροῦται αὐτοῖς ἡ προφητεία ἡσαΐου, ἡ λέ- 14
cens: Auditu audietis, & non intelligetis: & intuentes intuebimini,
γουσα· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε,
& non videbitis. Incrassatum est enim cor populi huius,
καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, 15
& auribus grauiter audierunt, & oculos suos clause-
καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμ-
runt: nequando videant oculis, & auribus audiant,
μυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι,
& corde intelligant, & conuertantur, & sanem eos.
καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς.
Vestri autem beati oculi quia ‖intuentur, & aures
ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ, ὅτι βλέπουσι, καὶ τὰ ὦτα 16
vestræ, quia audiunt. Amen quippe dico vobis, quia multi Pro-
ὑμῶν, ὅτι ἀκούει. ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι πολλοὶ προ- 17
phetæ & iusti cupierunt intueri quæ intuemini, & non viderunt:
φῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον·
& audire quæ auditis, & non audierunt. Vos ergo audite
καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. ὑμεῖς οὖν ἀκούσατε 18
parabolam seminantis. Omnis *audientis verbum
τὴν παραβολὴν τοῦ σπείροντος· παντὸς ἀκούοντος τὸν λόγον 19
regni, & non ‖intelligentis, venit malus, & rapit
τῆς βασιλείας, καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς, καὶ ἁρπάζει
seminatum in corde eius: hic est qui secus viam
τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ· οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν
seminatus". Qui autem super petrosa seminatus", hic est qui ver-
σπαρείς. ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λό- 20
bum *audiens, & continuò cum gaudio ‖sumens illud.
γον ἀκούων, καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων αὐτόν·
Non habet autem radicem in seipso, sed temporalis est:
οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρός ἐστι· 21
facta autem tribulatione *aut persecutione propter verbum, statim scan-
γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθὺς σκαν-
dalizatur. Qui autem in spinas seminatus", hic est qui
δαλίζεται. ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν 22
verbum ‖audiens, & *anxietas seculi istius, & deceptio
λόγον ἀκούων, καὶ ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ
diuitiarum suffocat verbum, & "infructuosus fit.
πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται.
Qui verò in terram *pulchram seminatus‖, hic est qui verbum
ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρεὶς, οὗτός ἐστιν ὁ τὸν λόγον 23
audiens & intelligens: quique fructum fert, & facit, hoc quidem "centum, hoc
ἀκούων καὶ συνιών· ὃς δὴ καρποφορεῖ, καὶ ποιεῖ, ὃ μὲν ἑκατὸν, ὃ
autem ‖sexaginta, hoc verò triginta. Aliam parabolam
δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. ἄλλην παραβολὴν 24
proposuit illis, dicens: *Assimilatum est regnum cælorum
παρέθηκεν αὐτοῖς, λέγων· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν
homini ‖seminanti pulchrum semen in agro suo.
ἀνθρώπῳ σπείραντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ·
In verò dormire homines, venit eius inimicus,
ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς, 25
& *seminauit zizania in medio tritici, & abiit.
καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν.
Cùm autem ‖creuit herba, & fructum fecit, tunc apparuerũt
ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος, καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη 26
& zizania. Accedentes autem serui patrisfamilias,
καὶ τὰ ζιζάνια. προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, 27

*dum seminat, quædam ceciderunt
" cæli
a ἐξανατέλλω.
‖quia non habebant
*quia non habebant radicẽ, aruerunt.
b καυματίζομαι.
c ἐξαραίνομαι.
‖ creuerunt
d ἀποπνίγω
aliud cẽtesimũ, aliud sexagesimum, aliud tricesimum.
"Qui habet aures audiendi,
‖ Qui
* Qui
e περισσεύομαι.
‖Ideo
quia
*adimpletur in
‖ dicentis:
videntes videbitis.
f παχύνω.
‖ vident,
videre quę videtis,
f ἐπιθυμέω
* qui audit
‖ intelligit,
quod est
" est.
* audit,
‖accipit
* &
continuò
est in spinis,
‖ Dei audit,
* solicitudo
fallacia
" sine fructu efficitur.
* bonam
‖ est,
audit, & intelligit, & fructũ affert:
"aliud centesimum,
‖aliud sexagesimum,
aliud tricesimum.
*Simile factum
‖qui seminauit bonum
cùm autẽ dormirent
* super
‖ creuisset
fecisset

dixerunt ei: Domine, nonne *pulchrum semen seminasti in tuo a-
εἶπον αὐτῷ, κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀ-
gro? Vnde ergo habet zizania? ‖ Ille verò ait illis: Inimicus
28 γρῷ; πόθεν οὖν ἔχει ζιζάνια; ὁ δὲ ἔφη αὐτοῖς, ἐχθρὸς
homo hoc fecit. At serui dixerunt ei: Vis igitur
ἄνθρωπος τοῦτο ἐποίησεν. οἱ δὲ δοῦλοι εἶπον αὐτῷ· θέλεις οὖν
"abeuntes colligamus ea? *Ille verò ait: Non: ne fortè col-
29 ἀπελθόντες συλλέξωμεν αὐτά; ὁ δὲ ἔφη, οὔ· μήποτε συλ-
ligentes zizania, eradicetis simul ‖eis triticum.
λέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον.
Sinite crescere vtraque vsque ad messem: &
30 ἄφετε συναυξάνεσθαι ἀμφότερα μέχρι τοῦ θερισμοῦ· καὶ
in tempore messis dicam messoribus: Colligite pri-
ἐν καιρῷ τοῦ θερισμοῦ ἐρῶ τοῖς θερισταῖς, συλλέξατε πρῶ-
mùm zizania, & alligate ea in fasciculos, ad com-
τον τὰ ζιζάνια, καὶ δήσατε αὐτὰ εἰς δέσμας, πρὸς τὸ κα-
burendum ea: *at triticum congregate in horreum meum.
τακαῦσαι αὐτά· τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην μου.
Aliam parabolam proposuit eis, dicens: Simile est
31 ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων· ὁμοία ἐστὶν
regnum cælorum grano sinapis, quod accipiens homo
ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος
seminauit in agro suo. Quod ‖minus quidem est om-
32 ἔσπειρεν ἐν τῷ ἀγρῷ αὐτοῦ. ὃ μικρότερον μέν ἐστι πάν-
nium seminum: cùm autem creuerit, maius omnibus
των τῶν σπερμάτων· ὅταν δὲ αὐξηθῇ, μεῖζον πάντων τῶν
oleribus est, & fit arbor, ita vt ‖ venire volucres
λαχάνων ἐστὶ, καὶ γίνεται δένδρον, ὥστε κατελθεῖν τὰ πετεινὰ
cæli, & umbracula facere in ramis eius·
τοῦ οὐρανοῦ, καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ.
Aliam parabolam locutus est eis: Simile est re-
33 ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς· ὁμοία ἐστὶν ἡ βα-
gnum cælorum fermento, quod *accipiens mulier abscondit in fa-
σιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀ-
rinæ satis tribus, "vsque quò fermentatũ est totũ. Hæc omnia
34 λεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον. ταῦτα πάντα
locutus est Iesus in parabolis ‖ turbis: & sine parabola
ἐλάλησεν ὁ ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς πα-
rabola non loquebatur eis: Vt impleretur *pronuntiatum per
35 ραβολῆς οὐκ ἐλάλει αὐτοῖς· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ
Prophetam, dicentem: Aperiam in parabolis os meum,
τοῦ προφήτου, λέγοντος· ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου,
eructabo abscondita à constitutione mundi.
ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου.
Tunc ‖dimittens turbas, venit in domum Iesus: &
36 τότε ἀφεὶς τοὺς ὄχλους, ἦλθεν εἰς τὴν οἰκίαν ὁ ἰησοῦς, καὶ
accesserunt ad eum discipuli eius, dicentes: Explica nobis
προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, φράσον ἡμῖν
parabolam zizaniorum agri. ‖Ille verò respondens
37 τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ. ὁ δὲ ἀποκριθεὶς
ait illis: *Seminans pulchrum semen, est Filius ho-
εἶπεν αὐτοῖς, ὁ σπείρων τὸ καλὸν σπέρμα, ἐστὶν ὁ υἱὸς τοῦ ἀν-
minis. ‖At ager est mundus. Verùm pulchrum semen,
38 θρώπου· ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος. τὸ δὲ καλὸν σπέρμα,
hi sunt filij regni. *At zizania sunt filij
οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας· τὰ δὲ ζιζάνια εἰσὶν οἱ υἱοὶ τοῦ
mali. ‖At inimicus seminans ea, est diabolus.
39 πονηροῦ· ὁ δὲ ἐχθρὸς ὁ σπείρας αὐτά, ἐστὶν ὁ διάβολος·
At messis, consummatio seculi est. At messores, an-
ὁ δὲ θερισμὸς, συντέλεια τοῦ αἰῶνός ἐστιν· οἱ δὲ θερισταὶ, ἄγ-
geli sunt. Sicut ergo colliguntur zizania, & igni
40 γελοί εἰσιν. ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ
comburuntur: sic erit in consummatione seculi.
καίεται· οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος.
Mittet Filius hominis angelos suos, & col-
41 ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλ-
ligent de regno eius omnia scandala, &
λέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα, καὶ τοὺς
‖ facientes iniquitatem: Et mittent eos in caminum
42 ποιοῦντας τὴν ἀνομίαν· καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον
ignis. Ibi erit fletus & fremitus dentium.
τοῦ πυρός. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.
Tunc iusti fulgebunt sicut Sol in regno
43 τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ
Patris eorum. *Habens aures audire, audiat.
πατρὸς αὐτῶν. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.
Iterum simile est regnum cælorum thesauro ab-
44 πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κε-
scondito in agro: quem ‖inueniens homo abscondit, & præ
κρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος ἔκρυψε, καὶ ἀπὸ
gaudio illius vadit, & vniuersa quæ habet vendit, & emit
τῆς χαρᾶς αὐτοῦ ὑπάγει, καὶ πάντα ὅσα ἔχει πωλεῖ, καὶ ἀγοράζει
agrum illum. Iterum simile est regnum cælorum
45 τὸν ἀγρὸν ἐκεῖνον. πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν
homini negotiatori, quærenti bonas margaritas:
ἀνθρώπῳ ἐμπόρῳ, ζητοῦντι καλοὺς μαργαρίτας·
Qui inueniens vnam pretiosam margaritam, abiens ven-
46 ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέ-
didit omnia quæ habuit, & emit eam.
πρακε πάντα ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν.

* bonum
‖Et
Serui autem
" imus, & colligimus
*Et
‖ cum eis &
* triticum autẽ
‖ minimum
omnibus seminibus:
a αὐξάνομαι.
‖ veniant,
habitent
b κατασκηνόω.
*acceptum
" donec
‖ ad turbas
parabolis
*quod dictum erat
c ἐρεύγομαι
‖ dimissis turbis,
Edissere
‖ Qui
* Qui seminat bonum
‖ Ager autem
Bonum verò
*Zizania autem filij sunt nequam.
‖ Inimicus autẽ qui seminauit
Messores autẽ,
‖ eos qui faciũt
stridor
* Qui habet aures audiendi,
‖ qui inuenit
Inuẽta autem vna pretiosa margarita, abiit, &

Iterum simile est regnum cælorum sagenæ *ia-
πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βλη- 47
ctæ in mare, & ex omni genere ‖ cogenti.
θείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συναγαγούσῃ·
Quam, cùm impleta esset, ꝰ producentes super littus, &
ἣν, ὅτε ἐπληρώθη, ἀναβιβάσαντες ἐπὶ τὸν αἰγιαλόν, καὶ 48
sedentes, * collegerunt pulchra in receptacula, at vitiosa
καθίσαντες, συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ
foras eiecerunt. Sic erit in consummatione seculi:
ἔξω ἔβαλον. οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος· 49
exibunt angeli & ‖ segregabunt malos de me-
ᵃἐξελεύσονται οἱ ἄγγελοι, καὶ ἀφοριοῦσι τοὺς πονηροὺς ἐκ μέ-
dio iustorum: Et * proijcient eos in caminum
σου τῶν δικαίων, καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον 50
ignis. ibi erit fletus & ꝰ fremitus dentium.
τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.
Dicit illis Iesus: Intellexistis hæc omnia? Dicunt
λέγει αὐτοῖς ὁ Ἰησοῦς, συνήκατε ταῦτα πάντα; λέγουσιν 51
ei, ‖ Vtique Domine. Is autem dixit illis: Propter hoc omnis Scri-
αὐτῷ, ναὶ κύριε. ὁ δὲ εἶπεν αὐτοῖς, διὰ τοῦτο πᾶς γραμ- 52
ba doctus in regnum cælorum, similis est
ματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ὅμοιός ἐστιν
homini patrifamiliàs, qui * eijcit de thesauro suo
ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ
noua & vetera. Et factum est, cùm consummasset Iesus
καινὰ καὶ παλαιά. καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς 53
parabolas istas, transiit inde. Et veniens in
παραβολὰς ταύτας, ᵇμετῆρεν ἐκεῖθεν. καὶ ἐλθὼν εἰς 54
patriam suam, docebat eos in * synagoga eorum,
τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν,
ita vt ‖ obstupefieri ipsos, & dicere: Vnde huic sapientia
ὥστε ἐκπλήσσεσθαι αὐτούς, καὶ λέγειν, πόθεν τούτῳ ἡ σοφία
hæc, & ꝰ efficacitates? Nonne hic est fabri filius?
αὕτη, καὶ αἱ δυνάμεις; οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; 55
Nonne mater eius dicitur Maria, & fratres eius Ia-
οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται μαριάμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἰά-
cobus, & * Ioses, & Simon & Iudas? Et sorores eius,
κωβος, καὶ ἰωσῆς, καὶ σίμων, καὶ ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ 56
nonne omnes apud nos sunt? Vnde ergo huic ista omnia?
οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσι; πόθεν οὖν τούτῳ ταῦτα πάντα;
Et scandalizabantur in eo. * At Iesus dixit eis:
καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, 57
Non est Propheta ‖ inhonoratus, si non in patria sua & in
οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τῇ
domo sua. Et non fecit ibi ꝰ efficacias multas,
οἰκίᾳ αὐτοῦ. καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλάς, 58
propter incredulitatem illorum.
διὰ τὴν ἀπιστίαν αὐτῶν.

Margin: * missæ ‖ piscium congregantis ꝰ educentes, & secus * elegerunt bonos in vasa, malos autem foras miserunt. ‖ separabunt ᵃ ἐξέρχομαι. * mittent ꝰ stridor ‖ Etiam. Ait illis: Ideo * profert ᵇ μεταίρω * synagogis ‖ mirarentur, & dicerent: ꝰ virtutes? * Ioseph, * Iesus autem ‖ sine honore, nisi ꝰ virtutes

CAP. XIIII. ιδ.

In illo tempore audiuit Herodes Tetrarcha fa-
Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν ἡρώδης ὁ τετράρχης τὴν ἀ- 1
mam Iesu: Et ait pueris suis: Hic est Ioannes
κοὴν Ἰησοῦ· καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, οὗτός ἐστιν ἰωάννης ὁ 2
Baptista: ipse surrexit à mortuis, & ‖ propter hoc effica-
βαπτιστής· αὐτὸς ᵃἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνά-
cia operantur in eo. ꝰ Nam Herodes apprehendens Ioan-
μεις ἐνεργοῦσιν ἐν αὐτῷ. ὁ γὰρ ἡρώδης κρατήσας τὸν ἰωάν- 3
nem, vinxit eum, & posuit in * custodia, propter Herodiadem vxo-
νην, ᵇἔδησεν αὐτόν, καὶ ᶜἔθετο ἐν φυλακῇ, διὰ ἡρωδιάδα τὴν γυναῖ-
rem Philippi fratris sui. Dicebat enim illi Ioan-
κα φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. ἔλεγε γὰρ αὐτῷ ὁ ἰωάν- 4
nes: Non licet tibi habere eam. Et volens illum oc-
νης, οὐκ ἔξεστί σοι ἔχειν αὐτήν. καὶ θέλων αὐτὸν ἀπο- 5
cidere, timuit * turbam: quia sicut Prophetam eum habebant.
κτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον.
‖ Natalitiis autem agendis Herodis, saltauit filia
γενεσίων δὲ ἀγομένων τοῦ ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ 6
Herodiadis in medio: & placuit Herodi.
τῆς ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ᵈἤρεσε τῷ ἡρώδῃ.
Vnde cum iuramento ‖ spopondit ei dare quodcúque postulasset ꝰ.
ὅθεν μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. 7
ᵃ Illa verò * præinstructa à matre sua: Da mihi, inquit,
ἡ δὲ ᵉπροβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς· δός μοι, φησίν, 8
hîc in disco caput Ioannis Baptistæ.
ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν ἰωάννου τοῦ βαπτιστοῦ.
Et contristatus est rex: propter verò * iuramenta, &
καὶ ᶠἐλυπήθη ὁ βασιλεύς· διὰ δὲ τοὺς ὅρκους, καὶ τοὺς 9
simul accumbentes, iussit dari. ‖ Et mittens
συνανακειμένους ἐκέλευσε δοθῆναι. καὶ πέμψας 10
decapitauit Ioannem in ꝰ custodia. Et allatum est
ἀπεκεφάλισε τὸν ἰωάννην ἐν τῇ φυλακῇ. καὶ ᵍἠνέχθη 11
caput eius in disco, & datum est puellæ: & ᵃ attulit
ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ κορασίῳ, καὶ ἤνεγκε
matri suæ. Et accedentes discipuli eius,
τῇ μητρὶ αὐτῆς. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ 12
tulerunt corpusᵃ, & sepelierunt illud. & venientes nuntiauerunt
ʰἦραν τὸ σῶμα, καὶ ἔθαψαν αὐτό· καὶ ἐλθόντες ἀπήγγειλαν
Iesu. * Et audiens Iesus, secessit inde in
τῷ Ἰησοῦ. καὶ ἀκούσας ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ἐν 13

Margin: ‖ ideo virtutes ᵃ ἐγείρομαι. ꝰ Herodes enim tenuit Ioannē, & alligauit * carcerem ᵇ δέω. ᶜ τίθημι. * populum. ‖ Die autem natalis ᵈ ἀρέσκω. ‖ pollicitus est ꝰ ab eo. ᵃ At * præmonita ᵉ προβιβάζω. * iuramentum autem, & eos qui pariter recumbebant, ᶠ λυπέομαι ‖ Misitque & decollauit ꝰ carcere. ᵍ φέρω. ᵃ illa ᵃ eius, ʰ αἴρω * Quod cùm audisset Iesus,

nauicula in desertum locum * priuatim. & audientes turbæ,
πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν. καὶ ἀκούσαντες οἱ ὄχλοι,
secutæ sunt eum ‖ pedibus de— ciuitatibus.
ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων.
Et exiens Iesus vidit multam turbam, & ꝰ visceribus affectus est
14 καὶ ἐξελθὼν ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη
erga eos: & curauit * ægrotos eorum.
ἐπ' αὐτοῖς, καὶ ἐθεράπευσε τοὺς ἀρρώστους αὐτῶν.
Vespere autem facto, accesserunt ad eum discipuli eius,
15 ὀψίας δὲ γενομένης, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ,
dicentes: ‖ Solitarius est locus, & hora iam præteriit: ꝰ ab-
λέγοντες, ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπό-
solue turbas, vt abeuntes in * vicos, mercen-
λυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας, ἀγοράσω-
tur sibi escas. ‖ At Iesus dixit eis: Non
16 σιν ἑαυτοῖς βρώματα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, οὐ
ꝰ vsum habent abire: date illis vos manducare.
χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν.
* Illi autem dicunt ei: Non habemus hîc ‖ si non quinque panes,
17 οἱ δὲ λέγουσιν αὐτῷ, οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους,
& duos pisces. ꝰ Ille autem ait: Afferte mihi illos huc.
18 καὶ δύο ἰχθύας. ὁ δὲ εἶπε, φέρετέ μοι αὐτοὺς ὧδε.
Et ᵃ iubens turbas discumbere super * fœna,
19 καὶ κελεύσας τοὺς ὄχλους ᵃἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους,
accipiens quinque panes, & duos pisces, suspiciens in
λαβὼν τοὺς πέντε ἄρτους, καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς
cælum, benedixit: & ‖ frangens dedit discipulis pa-
τὸν οὐρανόν, εὐλόγησε, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρ-
nes: ꝰ at discipuli turbis. Et manducauerunt omnes: &
20 τους· οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. καὶ ἔφαγον πάντες, καὶ
saturati sunt. & tulerunt * redundans fragmentorum duodecim
ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα
cophinos plenos. ‖ At edentes fuerunt viri ferè quin-
21 κοφίνους πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεν-
que millia. præter mulieres & pueros.
τακισχίλιοι, χωρὶς γυναικῶν καὶ παιδίων.
Et statim compulit Iesus discipulos suos as-
22 καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμ-
cendere in nauiculam, & præcedere eum ꝰ in vlteriora, vsquequo
βῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ
absolueret turbas. Et * absoluens turbas, ascendit
23 ἀπολύσῃ τοὺς ὄχλους. καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη
in montem ‖ priuatim orare. Vespere autem facto,
εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. ὀψίας δὲ γενομένης,
solus erat ibi: ꝰ Verùm nauicula iam medium maris
24 μόνος ἦν ἐκεῖ· τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης
erat, vexata à fluctibus: erat enim contrarius ventus.
ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος.
Quarta autem vigilia noctis, * abijt ad eos
25 τετάρτῃ δὲ φυλακῇ τῆς νυκτός, ἀπῆλθε πρὸς αὐτοὺς ὁ
Iesus, ‖ circumambulans super mare. Et videntes eum
26 Ἰησοῦς, περιπατῶν ἐπὶ τῆς θαλάσσης. καὶ ἰδόντες αὐτὸν οἱ
discipuli super mare ꝰ circumambulantem, turbati sunt,
μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα, ᵇἐταράχθησαν,
dicentes: * Quòd phantasma est. & præ timore clamauerunt.
λέγοντες, ὅτι φάντασμά ἐστι· καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν.
‖ Statim autem locutus est eis Iesus, dicens: ꝰ Confidite:
27 εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς, λέγων, θαρσεῖτε·
ego sum: ᵃ ne metuatis. Respondens autem ei Petrus,
28 ἐγώ εἰμι· μὴ φοβεῖσθε. ἀποκριθεὶς δὲ αὐτῷ ὁ πέτρος,
dixit: Domine, si tu es, iube me ad te venire super
εἶπε, κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρός σε ἐλθεῖν ἐπὶ τὰ
aquas. * Ipse verò ait: Veni. Et descendens de nauicula Pe-
29 ὕδατα. ὁ δὲ εἶπεν, ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ πέ-
trus, ambulabat super aquam, ‖ venire ad Iesum.
τρος, περιεπάτησεν ἐπὶ τὰ ὕδατα, ἐλθεῖν πρὸς τὸν Ἰησοῦν.
ꝰ Intuitus verò ventum validum, timuit: & incipiens
30 βλέπων δὲ τὸν ἄνεμον ἰσχυρόν, ἐφοβήθη· καὶ ἀρξάμενος
demergi, clamauit, dicens: Domine, ‖ serua me.
καταποντίζεσθαι, ἔκραξε, λέγων, κύριε, σῶσόν με.
‖ Et cōtinuò Iesus extendens manum, ᵃ excepit
31 καὶ εὐθέως ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο
eum, & ait illi: * Exiguæ fidei, ad quid dubitasti?
αὐτοῦ, καὶ λέγει αὐτῷ, ὀλιγόπιστε, εἰς τί ᶜἐδίστασας;
Et ‖ ascendentibus illis in nauigium, quieuit ventus.
32 καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος.
Qui autem in ꝰ nauigio, venientes adorauerunt eum, di-
33 οἱ δὲ ἐν τῷ πλοίῳ, ἐλθόντες προσεκύνησαν αὐτῷ, λέ-
centes: Verè Dei filius es. Et * transfretantes venerunt
34 γοντες, ἀληθῶς θεοῦ υἱὸς εἶ. καὶ διαπεράσαντες ἦλθον
in terram ‖ Gennesareth. Et ꝰ cognoscentes eum viri
35 εἰς τὴν γῆν γεννησαρέτ. καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ
loci illius, miserunt in vniuersam * circumuiciniam illam: &
τόπου ἐκείνου, ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην· καὶ
‖ attulerunt ei omnes malè habentes.
προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας·
Et ꝰ adpellabant eum, vt vel solum tangerent fimbriam
36 καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν μόνου ἅψωνται τοῦ κρασπέδου
vestimenti eius. Et quicunque tetigerunt, ‖ perseruati sunt.
τοῦ ἱματίου αὐτοῦ. καὶ ὅσοι ἥψαντο, διεσώθησαν.

Margin: * seorsum: & cùm audissent ‖ pedestres ꝰ misertus est eis: * languidos ‖ Desertus ꝰ dimitte * castella, emāt ‖ Iesus autem ꝰ habent necesse ire: * Responderūt ‖ nisi ꝰ Qui ait eis: ᵃ cùm iussisset turbam * fœnum, accepis quinque panibꝰ & duobus piscibus, aspiciens ᵃ ἀνακλίνομαι. ‖ fregit & ꝰ discipuli autē * reliquias ‖ Manducantiū autem fuit numerus quinque millia virorū, exceptis mulieribus & paruulis: ꝰ trans fretum, donec dimitteret * dimissa turba, ‖ solus ꝰ Nauicula autem in medio mari iactabatur * venit ‖ ambulans ꝰ ambulantem, ᵇ ταράττω * Quia ‖ Statimque ꝰ Habete fiduciam: ᵃ nolite timere. * At ipse ‖ vt veniret ꝰ Videns ᵃ & cùm cœpisset mergi, ‖ saluum me fac. ᵃ apprehendit * Modicæ fidei, quare ᶜ διστάζω ‖ cùm ascendissent in nauiculam, cessauit ꝰ nauicula erāt, venerunt & * cùm transfretassent, ‖ Genesar. ꝰ cùm cognouissent * regionem ‖ obtulerunt ꝰ rogabant ‖ salui facti sunt.

CAP. XV. ιε.

Tunc *accedunt Iesu ab Hierosolymis Scri-
1 Τότε προσέρχονται τῷ Ἰησοῦ οἱ ἀπὸ Ἱεροσολύμων γραμ-
bæ & Pharisæi, dicentes: Quare discipuli tui
2 ματεῖς καὶ φαρισαῖοι, λέγοντες· διατί οἱ μαθηταί σου
transgrediuntur traditionem seniorum? non enim lauant
παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται
manus suas, cum panem manducant. Ipse autem respondens
3 τὰς χεῖρας αὐτῶν, ὅταν ἄρτον ἐσθίωσιν. ὁ δὲ ἀποκριθεὶς
ait illis: Quare & vos transgredimini mandatum Dei,
εἶπεν αὐτοῖς, διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ θεοῦ,
propter traditionem vestram? Nam Deus *mandauit, dicens:
4 διὰ τὴν παράδοσιν ὑμῶν; ὁ γὰρ θεὸς ἐνετείλατο, λέγων·
Honora patrem & matrem: &, ‖Maledicens patri vel ma-
τίμα τὸν πατέρα καὶ τὴν μητέρα· καί, ὁ κακολογῶν πατέρα ἢ μη-
tri, morte *finiatur. Vos autem dicitis: Quicunque dixerit
5 τέρα, θανάτῳ τελευτάτω. ὑμεῖς δὲ λέγετε, ὃς ἂν εἴπῃ
patri vel matri, Munus, ‖quod si ex me, *iuueris:
τῷ πατρὶ ἢ τῇ μητρί, δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς·
Et non honorificabit patrem suum aut matrem suam: &
6 καὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ· καὶ
irritum fecistis mandatum Dei propter traditionem vestram.
*ἠκυρώσατε τὴν ἐντολὴν τοῦ θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν.
Hypocritæ, *pulchrè prophetauit de vobis Esaias,
7 ὑποκριταί, καλῶς προεφήτευσε περὶ ὑμῶν Ἡσαΐας,
dicens: Appropinquat mihi populus hic ore suo, & la-
8 λέγων· ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν, καὶ τοῖς χεί-
biis me honorat: at cor *eorum longè abest à me.
λεσί με τιμᾷ· ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ.
*Frustrà autem colunt me, docentes doctrinas‖, man-
9 μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐν-
data hominum. Et *aduocans turbam,
10 τάλματα ἀνθρώπων. καὶ προσκαλεσάμενος τὸν ὄχλον,
dixit eis: Audite & intelligite: Non *intrans
11 εἶπεν αὐτοῖς, ἀκούετε καὶ συνίετε· οὐ τὸ εἰσερχόμενον
in os communem facit hominem: sed ‖egressum ex
εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον· ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ
ore, hoc *communem facit hominem. Tunc accedentes
12 τοῦ στόματος, τοῦτο κοινοῖ τὸν ἄνθρωπον. τότε προσελθόντες
discipuli eius, dixerunt ei: Scis *quòd Pharisæi ‖au-
οἱ μαθηταὶ αὐτοῦ, εἶπον αὐτῷ, οἶδας ὅτι οἱ φαρισαῖοι ἀκού-
dientes sermonem, scandalizati sunt? *Ille autem respondens,
13 σαντες τὸν λόγον, ἐσκανδαλίσθησαν; ὁ δὲ ἀποκριθεὶς,
ait: Omnis plantatio, quam non plantauit Pater meus cælestis,
εἶπε, πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος,
eradicabitur. Sinite illos: *duces sunt cæci cæ-
14 *ἐκριζωθήσεται. ἄφετε αὐτούς. ὁδηγοί εἰσι τυφλοὶ τυ-
corum. cæcus autem *cæcum si per viam ducat, ambo in foueam
φλῶν. τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον
*incident. Respondens autem Petrus, dixit ei: ‖Explica
15 *ἐμπεσοῦνται. ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ, *φράσον
nobis parabolam istam. At *Iesus dixit: Adhuc &
16 ἡμῖν τὴν παραβολὴν ταύτην. ὁ δὲ Ἰησοῦς εἶπεν, ἀκμὴν καὶ
vos *inintelligentes estis? Nondum *consideratis quòd omne ‖ingre-
17 ὑμεῖς ἀσύνετοί ἐστε; οὔπω νοεῖτε ὅτι πᾶν τὸ εἰσπορευό-
diens in os, in ventrem *cedit, & in secessum
μενον εἰς τὸ στόμα, εἰς τὴν κοιλίαν χωρεῖ, καὶ εἰς ἀφεδρῶνα
*eiicitur? At exeuntia de ore, de
18 ἐκβάλλεται; τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος, ἐκ τῆς
corde *prodeunt, & illa communem faciunt hominem.
καρδίας ἐξέρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον.
De enim corde exeunt ‖ratiocinationes malæ, homicidia,
19 ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, φόνοι,
adulteria, fornicationes, furta, falsa testimonia, blasphemiæ.
μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι·
Hæc sunt ‖communem facientia hominem. *Verùm illotis ma-
20 ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον. τὸ δὲ ἀνίπτοις χερ-
nibus mãducare, *non communem facit hominem. Et egressus in-
21 σὶ φαγεῖν, οὐ κοινοῖ τὸν ἄνθρωπον. καὶ ἐξελθὼν ἐκεῖ-
de Iesus, secessit in partes Tyri & Sidonis.
θεν ὁ Ἰησοῦς, ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος.
Et ecce mulier quædã Chananæa à finibus illis egressa,
22 καὶ ἰδοὺ γυνὴ τις χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα,
clamauit ei, dicens: Miserere mei Domine fili Dauid:
ἐκραύγασεν αὐτῷ λέγουσα, ἐλέησόν με κύριε υἱὲ Δαβίδ,
filia mea malè *dæmonizatur. Ille autem non respondit
23 ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ὁ δὲ οὐκ ἀπεκρίθη
ei verbum. Et accedentes discipuli eius, rogabant
αὐτῇ λόγον. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, *ἠρώτων
eum, dicentes: ‖Absolue eam, quia clamat post nos.
αὐτόν, λέγοντες, ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν.
Ipse autem respondens, ait: Non ‖legatus sum si non ad o-
24 ὁ δὲ ἀποκριθεὶς εἶπεν, οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρό-
ues *perditas domus Israel. *Illa autem veniens
25 βατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. ἡ δὲ ἐλθοῦσα
adorabat eum, dicens: Domine, ‖succurre mihi.
προσεκύνει αὐτῷ, λέγουσα, κύριε, βοήθει μοι.
Qui verò respondens, ait: Non est *pulchrum sumere panem
26 ὁ δὲ ἀποκριθεὶς εἶπεν, οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον

*accesserũt ad Iesum
*dixit:
‖Qui maledixerit
*moriatur.
‖quodcunque est
*tibi proderit:
*ἀκυρόω
*bene
*autem
*Sine causa ‖&
*conuocatis ad se turbis,
*quod intrat in os, coinquinat
‖quod procedit
*coinquinat
*quia
‖audito verbo hoc
*At
*cæci sunt, &
*ἐκριζόω
*si cæco ducatum præstet,
*cadunt.
‖Edissere
*πίπτω.
*φράζω.
*ille
*sine intellectu
*intelligitis quia quod
‖intrat
*vadit,
*emittitur? Quę autẽ procedũt
*exeunt, & ea coinquinant
‖cogitationes
‖quæ coinquinant
*Non lotis autẽ
*nõ coinquinat
*à dæmonio vexatur. Qui
*ἐρωτάω.
‖Dimitte
‖sum missus, nisi
*quæ perierũt
*At illa venit, & adorauit
‖adiuua me.
*bonum

filiorum, & ‖iacere catellis. Illa autem ait: Vtique Do-
27 τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. ἡ δὲ εἶπε, ναὶ κύ-
mine: *etenim catelli edunt de micis *cadentibus
ριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων
de mensa dominorum suorum. Tunc respondens
28 ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. τότε ἀποκριθεὶς
Iesus, ait illi: O mulier, magna *tua fides: fiat
ὁ Ἰησοῦς, εἶπεν αὐτῇ, ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω
tibi sicut vis. & sanata est filia eius *ab hora illa.
σοι ὡς θέλεις. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.
Et ‖transiens inde Iesus, venit *iuxta ma-
29 καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς, ἦλθε παρὰ τὴν θάλασ-
re Galilææ. & ascendens in montem, sedebat ibi.
σαν τῆς Γαλιλαίας. καὶ ἀναβὰς εἰς τὸ ὄρος, ἐκάθητο ἐκεῖ.
Et *adierunt eum turbæ multæ, habentes ‖cum seipsis
30 καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοί, ἔχοντες μεθ' ἑαυτῶν
mutos, cæcos, claudos, *mancos, & alios multos: & proie-
χωλούς, τυφλούς, κωφούς, κυλλούς, καὶ ἑτέρους πολλούς, καὶ ἔῤῥι-
cerunt eos ad pedes *Iesu, & curauit eos.
ψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐθεράπευσεν αὐτούς·
ita vt *turbas mirari aspicientes mutos loquen-
31 ὥστε τοὺς ὄχλους θαυμάσαι βλέποντας, κωφοὺς λαλοῦν-
tes, debiles sanos, claudos ambulantes, & cæcos ‖aspi-
τας, κυλλοὺς ὑγιεῖς, χωλοὺς περιπατοῦντας, καὶ τυφλοὺς βλέ-
cientes. & glorificabant Deum Israel.
ποντας· καὶ ἐδόξασαν τὸν θεὸν Ἰσραήλ.
*At Iesus aduocans discipulos suos,
32 ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ,
ait: Visceribus commoueor super turbam: quia iam dies tres
εἶπε· σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς
admanent mihi, & non habent quid manducent: *& absoluere
προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι· καὶ ἀπολῦσαι
eos ieiunos ‖non volo, nequando deficiant in via.
αὐτοὺς νήστεις οὐ θέλω, μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ.
Et dicunt ei discipuli eius: Vnde *nobis in de-
33 καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, πόθεν ἡμῖν ἐν ἐρη-
serto panes *tot, vt saturare turbam tantam?
μίᾳ ἄρτοι τοσοῦτοι, ὥστε χορτάσαι ὄχλον τοσοῦτον;
Et ait illis Iesus: Quot panes habetis? *Illi autẽ dixerũt:
34 καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, πόσους ἄρτους ἔχετε; οἱ δὲ εἶπον,
Septem, & paucos pisciculos. Et præcepit ‖turbis recum-
35 ἑπτά, καὶ ὀλίγα ἰχθύδια. καὶ ἐκέλευσε τοῖς ὄχλοις ἀναπε-
bere super terram. Et accipiens septem panes & pisces,
36 σεῖν ἐπὶ τὴν γῆν. καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας,
*gratias agens fregit, & dedit discipulis suis, *at
εὐχαριστήσας ἔκλασε, καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ· οἱ δὲ
discipuli turbæ. Et comederunt omnes, & saturati
37 μαθηταὶ τῷ ὄχλῳ. καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθη-
sunt. Et ‖tulerunt redundantiam fragmentorum, septem sportas
σαν. καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, ἑπτὰ σπυρίδας
plenas. *At vescentes erant quatuor mille homines, præ-
38 πλήρεις. οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες, χω-
ter mulieres & pueros. Et *absoluens turbas,
39 ρὶς γυναικῶν καὶ παιδίων. καὶ ἀπολύσας τοὺς ὄχλους,
ascendit in ‖nauigium, & venit in fines *Magdala.
ἐνέβη εἰς τὸ πλοῖον, καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά.

CAP. XVI. ιϛ.

Et *accedentes Pharisæi & Sadducæi ten-
1 Καὶ προσελθόντες οἱ φαρισαῖοι καὶ σαδδουκαῖοι πει-
tantes, ‖rogauerunt eum *signum de cælo *osten-
ράζοντες, ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπι-
dere eis. *Is autem respondens, ait illis: Vespere fa-
2 δεῖξαι αὐτοῖς. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, ὀψίας γε-
cto, dicitis: ‖Serenitas: rubet enim cælum.
νομένης, λέγετε, εὐδία· πυῤῥάζει γὰρ ὁ οὐρανός.
Et manè, Hodie tempestas: *rubet enim triste cæ-
3 καὶ πρωΐ, σήμερον χειμών· πυῤῥάζει γὰρ στυγνάζων ὁ οὐ-
lum. Hypocritæ, illam *quidem faciem cæli nostis
ρανός. ὑποκριταί, τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε
diiudicare: *at signa temporum non potestis?
διακρίνειν· τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε;
Generatio mala & adultera signum ‖inquirit: & signum
4 γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ· καὶ σημεῖον
non dabitur ei, *si non signum Ionæ Prophetæ. &
οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. καὶ
*relinquens eos, abiit. Et ‖venientes discipuli
5 καταλιπὼν αὐτούς, ἀπῆλθε. καὶ ἐλθόντες οἱ μαθηταὶ
eius *in vlterius littus, obliti sunt panes *sumere.
αὐτοῦ εἰς τὸ πέραν, ἐπελάθοντο ἄρτους λαβεῖν.
*At Iesus dixit illis: Intuemini & ‖attendite à fer-
6 ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύ-
mento Pharisæorum & Sadducæorum. *Illi verò ratiocinabantur
7 μης τῶν φαρισαίων καὶ σαδδουκαίων. οἱ δὲ διελογίζοντο
in seipsis, dicentes: Quia panes non accepimus.
ἐν ἑαυτοῖς, λέγοντες, ὅτι ἄρτους οὐκ ἐλάβομεν·
Sciens autem Iesus, dixit illis: Quid *ratiocinamini in vobisipsis,
8 γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς, τί διαλογίζεσθε ἐν ἑαυτοῖς,
exiguæ fidei, quia panes non ‖sumpsistis? Nondum intelligitis neque re-
9 ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε; οὔπω νοεῖτε οὐδὲ μνη-

‖mittere canibus. At illa dixit: Etiam
*nam &
*quæ cadunt
*est
*ex
‖cùm transisset
*secus
*accesserunt ad
‖secum
*debiles,
*eius,
*turbæ mirarentur videntes
‖videntes: & magnificabant
*Iesus autem conuocatis discipulis suis, dixit:
Misereor turbæ quia triduo iam perseuerant mecum,
*& dimittere
‖nolo,
*ergo
*tantos, vt saturemus
*At illi
‖turbæ, vt discumberent
*&
*& discipuli dederunt populo.
‖quod superfuit de fragmẽtis, tulerunt
*Erant autem qui manducauerũt, quatuor millia hominũ, extra paruulos & mulieres.
*dimissa turba,
‖nauiculam:
*Magedan.
‖accesserunt ad eum
‖&
*vt
*ostenderet
*At ille
‖Serenum erit, rubicũdum est
*rutilat
*ergo
*signa autem
‖quærit:
*nisi
*relictis illis
‖cùm venissent
*trans fretum,
*accipere.
*Qui
‖cauete:
*At illi cogitabant inter se,
*cogitatis inter vos modicæ
habetis?

cordamini quinque * panes quinque millium ‖, & quot
μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους
cophinos sumpsistis? Neque septem ? panes qua-
κοφίνους ἐλάβετε; οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τε- 10
tuor millium ", & quot sportas sumpsistis?
τρακισχιλίων, καὶ πόσας σπυρίδας ἐλάβετε;
* Quomodo nō intelligitis quia non de pane dixi vobis ‖ attendere
πῶς οὐ νοεῖτε ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν προσέχειν 11
à fermento Pharisæorum & Sadducæorum?
ἀπὸ τῆς ζύμης τῶν φαρισαίων καὶ σαδδουκαίων;
Tunc intellexerunt, quia non dixerit ? attendere à fermento
τότε ᵃ συνῆκαν ὅτι οὐκ εἶπε προσέχειν ἀπὸ τῆς ζύμης τοῦ 12
* panis, sed à doctrina Pharisæorum & Sadducæorum.
ἄρτου, ἀλλ' ἀπὸ τῆς διδαχῆς τῶν φαρισαίων καὶ σαδδουκαίων.
‖ Veniens autem Iesus in partes Cæsareæ Philip-
ἐλθὼν δὲ ὁ ἰησοῦς εἰς τὰ μέρη καισαρείας τῆς φιλίπ- 13
pi, ? interrogabat discipulos suos, dicens: Quem me dicunt
που, ᵇ ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων, τίνα με λέγουσιν
homines esse, filium hominis?
οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώπου;
? Illi verò dixerunt: " Hi quidem Ioannem Baptistam, alij autem
οἱ δὲ εἶπον, οἱ μὲν ἰωάννην τὸν βαπτιστήν· ἄλλοι δὲ, 14
Eliam, alij verò Hieremiam, aut vnum * Prophetarum.
ἠλίαν· ἕτεροι δὲ ἱερεμίαν, ἢ ἕνα τῶν προφητῶν.
Dicit illis ‖: Vos autem quem me dicitis esse?
λέγει αὐτοῖς, ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; 15
Respondens autem Simon Petrus, dixit: Tu es Christus filius
ἀποκριθεὶς δὲ σίμων πέτρος, εἶπε, σὺ εἶ ὁ χριστὸς, ὁ υἱὸς 16
Dei viui. Et respondens ? Iesus, dixit
τοῦ θεοῦ τοῦ ζῶντος. καὶ ἀποκριθεὶς ὁ ἰησοῦς, εἶπεν 17
ei: Beatus es Simon Bar-Iona, quia caro & sanguis non
αὐτῷ, μακάριος εἶ σίμων βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ
reuelauit tibi, sed Pater meus qui in cælis "
ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.
Et ego *autem* tibi dico, quia tu es Petrus, & super hanc
κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ 18
petram ædificabo meam ecclesiam: & portæ inferi non
πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ
præualebunt * ei. Et dabo tibi claues
κατισχύσουσιν αὐτῆς. καὶ δώσω σοι τὰς κλεῖς τῆς 19
regni cælorum. Et quodcunq; ligaueris super terram, erit
βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν ᶜ δήσῃς ἐπὶ τῆς γῆς, ἔσται
ligatum ‖ in cælis: & quodcunq; solueris super terram,
δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς,
erit solutum ‖ in cælis.
ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.
Tunc præcepit discipulis suis, vt nemini dicerent
τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ, ἵνα μηδενὶ εἴπωσιν 20
quia ipse esset Iesus Christus.
ὅτι αὐτός ἐστιν ἰησοῦς ὁ χριστός.
* Ex tunc cœpit Iesus ostendere discipulis suis,
ἀπὸ τότε ἤρξατο ὁ ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ, 21
frater Simonis Petri: Est puer*ulus* vnus hîc, qui habet
ὁ ἀδελφὸς Σίμωνος Πέτρου· ἔστι παιδάριον ἓν ὧδε ὃ ἔχει 9
quinque panes hordeaceos, & duos ʰ*pisciculos*: sed hæc quid sunt
πέντε ἄρτους κριθίνους, καὶ δύο ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν
inter ‖*tot*? Dicit *autem* Iesus, Facite homines
εἰς τοσούτους; εἶπε δὲ ὁ Ἰησοῦς, ποιήσατε τοὺς ἀνθρώπους 10
discumbere: erat autem fœnum multum in loco: discubuerunt ergo
ἀναπεσεῖν. ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ· ἀνέπεσον οὖν
viri ʰ*numerum* quasi quinque millia.
οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακισχίλιοι.
Accepit ʸ*autem* panes Iesus, & *gratias ʰ*agens* distribuit
ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ εὐχαριστήσας διέδωκε 11
discipulis, *at discipuli* discumbentibus: similiter &
τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ τοῖς ἀνακειμένοις· ὁμοίως καὶ
ex ʸ*pisciculis* quantum volebant. Vt autem impleti sunt,
ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον. ὡς δὲ ἐνεπλήσθησαν, 12
‖*dicit* discipulis suis, Colligite ʰ*superabundantia*
λέγει τοῖς μαθηταῖς αὐτοῦ, συναγάγετε τὰ περισσεύσαντα
fragmenta, ʸ*vt non quid pereat*. Collegerunt ergo, &
κλάσματα, ἵνα μή τι ἀπόληται. συνήγαγον οὖν, καὶ 13
impleuerunt duodecim cophinos fragmentorum, ex quinque panibus
ἐγέμισαν δώδεκα κοφίνους κλασμάτων, ἐκ τῶν πέντε ἄρτων
hordeaceis, quæ superfuerunt ʸ*comedentibus*.
τῶν κριθίνων, ἃ ἐπερίσσευσε τοῖς βεβρωκόσιν.
Illi ergo homines *videntes quod fecerat signum Iesus, dice-
οἱ οὖν ἄνθρωποι ἰδόντες ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς, ἔλε- 14
bant, Quia hic est verè propheta ʸventurus in
γον, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ ἐρχόμενος εἰς τὸν
mundum. Iesus ergo ʰ*cognoscens quòd futuri essent venire & ra-*
κόσμον. Ἰησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρ- 15
pere eum, ‖*vt* facerent eum regem, ʰ*recessit* ite-
πάζειν αὐτὸν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα, ἀνεχώρησε πά-
rum in montem ipse solus. Vt autem ʰ*serum* factum est, de-
λιν εἰς τὸ ὄρος αὐτὸς μόνος. ὡς δὲ ὀψία ἐγένετο, κα- 16
scenderunt discipuli eius ad mare. Et *ascen-
τέβησαν οἱ μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν· καὶ ἐμ- 17
dentes in nauim, venerunt trans mare in Ca-
βάντες εἰς τὸ πλοῖον, ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Κα-
pharnaum: & tenebræ iam factæ erant, & non venerat ad
περναούμ. καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς
eos Iesus. *Et* mare‖ vento magno flante,
αὐτοὺς ὁ Ἰησοῦς· ἥ τε θάλασσα ἀνέμου μεγάλου πνέοντος 18
exurgebat. ʸ*Prouecti* ergo quasi stadia vigintiquinque aut
διηγείρετο. ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ 19
triginta, vident Iesum ambulantem supra ma-
τριάκοντα, θεωροῦσι τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσ-
re, & **prope nauem factum*, & timuerunt.
σης, καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον, καὶ ἐφοβήθησαν.
Ille autem dicit eis, Ego sum, ʰ*ne timete*.
ὁ δὲ λέγει αὐτοῖς, ἐγώ εἰμι, μὴ φοβεῖσθε. 20
Voluerunt ergo accipere eum in nauim, & statim nauis *fa-
ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως τὸ πλοῖον ἐ- 21
cta est ad terram in quam ibant. ʰ*Postridie* turba
γένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον. τῇ ἐπαύριον ὁ ὄχλος ὁ 22
‖*constituta* trans mare, **videns* quia nauicula alia non
ἑστηκὼς πέραν τῆς θαλάσσης, ἰδὼν ὅτι πλοιάριον ἄλλο οὐκ
erat ibi, ‖*si non vna illa in quam intrarant discipuli eius*, &
ἦν ἐκεῖ, εἰ μὴ ἓν ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ, καὶ
quia non *simul* introisset ʸdiscipulis suis Iesus in **naui-
ὅτι οὐ συνεισῆλθε τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοιά-
culam, sed soli discipuli eius abiissent. Aliæ verò super-
ριον, ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον. ἄλλα δὲ ἦλ- 23
uenerunt naues à Tiberiade iuxta locum vbi manducauerant
θε πλοιάρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου ὅπου ἔφαγον τὸν
panem, gratias **agente* Domino. Cùm ergo vidisset turba
ἄρτον, εὐχαριστήσαντος τοῦ κυρίου. ὅτε οὖν εἶδεν ὁ ὄχλος 24
quia Iesus non esset ibi, neque discipuli eius, ascenderunt *ipsi*
ὅτι Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ, οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν αὐτοὶ
in nauiculas, & venerunt *in* Capharnaum, quærentes Iesum.
εἰς τὰ πλοῖα, καὶ ἦλθον εἰς Καπερναοὺμ ζητοῦντες τὸν Ἰησοῦν.
Et ʰ*inuenientes* eum trans mare, dixerunt ei, Rabbi,
καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης, εἶπον αὐτῷ, ῥαββί, 25
quando huc ‖*factus es*? Respondit eis Iesus, &
πότε ὧδε γέγονας; ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, καὶ 26
dixit, Amen amen dico vobis, Quæritis me non quia vidistis
εἶπεν, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με οὐχ ὅτι εἴδετε

Cùm subleuasset ‖vidisset *multitudo maxima ʰfacturus. ʸpisces: ‖tantos *ergo ʰnumero ʸergo *cùm ʰegisset, διαδίδωμι ʸpiscibus ‖dixit ʰquæ superauerunt ʸne pereant. ʸhis qui manducauerant. *cùm vidissent ʸqui est ʰcùm cognouisset quia venturi essent vt raperent ‖& ʰfugit ʰserò *cùm ascendissent ‖autem ʸCùm remigassent ἐλαύνω *proximum naui fieri: ʰnolite timere *fuit ʰAltera ‖quæ stabat *vidit ‖nisi ʸcum *nauim, *agentes ʸcùm inuenissent ‖venisti?

signa, sed quia manducastis ex panibus, & saturati estis.
σημεῖα, ἀλλ᾽ ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε.
Operamini non cibum *pereuntem, sed
27 ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν
ˀcibum manentem in vitam æternam, quem filius homi-
βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώ-
nis vobis dabit: hunc enim Pater signauit Deus.
που ὑμῖν δώσει· τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός.
Dixerunt ergo ad eum, Quid faciemus, vt operemur
28 εἶπον οὖν πρὸς αὐτόν, τί ποιοῦμεν, ἵνα ἐργαζώμεθα τὰ
opera Dei? Respondit Iesus & dixit eis, Hoc est
ἔργα τοῦ θεοῦ; ἀπεκρίθη ὁ ἰησοῦς καὶ εἶπεν αὐτοῖς, τοῦτό ἐστι
29 opus Dei, vt credatis in ˀquem misit ille.
τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος.
Dixerunt ergo ei, Quod ergo facis tu signum, vt videamus
30 εἶπον οὖν αὐτῷ, τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν
& credamus tibi? quid operaris? Patres nostri
καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ; οἱ πατέρες ἡμῶν τὸ
31 manna manducauerũt in deserto, sicut est scriptum, Pa-
μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον· ἄρ-
nem de cælo dedit eis manducare.
τον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν.
Dixit ergo eis Iesus, Amen, amen dico vobis, Non Moy-
32 εἶπεν οὖν αὐτοῖς ὁ ἰησοῦς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ μω-
ses dedit vobis panem de cælo, sed pater meus
σῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, ἀλλ᾽ ὁ πατήρ μου
dat vobis panem de cælo verum.
δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν.
Nam panis * Dei est "ille descendens de cælo, &
33 ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ
vitam ‖dans mundo. Dixerunt ergo ad eum, Domine,
ζωὴν διδοὺς τῷ κόσμῳ. εἶπον οὖν πρὸς αὐτόν, κύριε,
34 semper da nobis panem hunc. Dixit autem eis Ie-
πάντοτε δὸς ἡμῖν τὸν ἄρτον τοῦτον. εἶπε δὲ αὐτοῖς ὁ ἰη-
35 sus, Ego sum panis vitæ: ‖veniens ad me, non
σοῦς, ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. ὁ ἐρχόμενος πρός με, οὐ
esuriet: & ˀcredens in me, non sitiet vnquam.
μὴ πεινάσῃ· καὶ ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ διψήσῃ πώποτε.
Sed dixi vobis, quia & vidistis me, & non "creditis.
36 ἀλλ᾽ εἶπον ὑμῖν, ὅτι καὶ ἑωράκατέ με, καὶ οὐ πιστεύετε.
Omne quod dat mihi Pater, ad me veniet: & *venien-
37 πᾶν ὃ δίδωσί μοι ὁ πατήρ, πρὸς ἐμὲ ἥξει· καὶ τὸν ἐρχό-
tem ad me non eiiciam foras. Quia descendi de
μενον πρός με οὐ μὴ ἐκβάλω ἔξω. ὅτι καταβέβηκα ἐκ
38 cælo, non vt faciam voluntatem meam, sed volun-
τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλη-
tatem *mittentis me. Hæc ‖autem est voluntas *mit-
μα τοῦ πέμψαντός με. τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμ-
39 tentis me Patris, vt omne quod dedit mihi, non perdam ex
ψαντός με πατρός, ἵνα πᾶν ὃ δέδωκέ μοι, μὴ ἀπολέσω ἐξ αὐ-
eo: sed *resuscitabo illud in nouissimo die. Hæc autem est
τοῦ· ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. τοῦτο δέ ἐστι
40 voluntas ‖mittentis me, vt omnis "videns filium, &
τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱόν, καὶ
ˀcredens in eum, habeat vitam æternam: & resuscitabo eum ego
πιστεύων εἰς αὐτόν, ἔχῃ ζωὴν αἰώνιον· καὶ ἀναστήσω αὐτὸν ἐγὼ
* nouissimo die. Murmurabant ergo Iudæi de illo,
τῇ ἐσχάτῃ ἡμέρᾳ. ᵃἐγόγγυζον οὖν οἱ ἰουδαῖοι περὶ αὐτοῦ, 41
quia dixisset, Ego sum panis "descendens de cælo.
ὅτι εἶπεν, ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ.
Et dicebant, Nonne hic est Iesus filius Ioseph, cuius nos no-
42 καὶ ἔλεγον, οὐχ οὗτός ἐστιν ἰησοῦς ὁ υἱὸς ἰωσήφ, οὗ ἡμεῖς οἴ-
uimus patrem & matrem? quomodo ergo dicit hic, Quia
δαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς οὖν λέγει οὗτος, ὅτι
de cælo descendi? Respondit ergo Iesus, &
ἐκ τοῦ οὐρανοῦ καταβέβηκα; ἀπεκρίθη οὖν ὁ ἰησοῦς, καὶ 43
dixit eis, ‖Ne murmurate cum alij aliis. Nemo potest
εἶπεν αὐτοῖς, μὴ γογγύζετε μετ᾽ ἀλλήλων. οὐδεὶς δύναται 44
venire ad me, ˀsi non Pater ‖mittens me traxerit
ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με, ἑλκύσῃ αὐ-
eum: & ego resuscitabo eum ᵃ nouissimo die. Est scri-
τόν· καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. ἔστι γε- 45
ptum in prophetis, Et erunt omnes docibiles
γραμμένον ἐν τοῖς προφήταις, καὶ ἔσονται πάντες διδακτοὶ
Dei: omnis ˀigitur audiens à Patre, & ‖discens, ve-
τοῦ θεοῦ. πᾶς οὖν ὁ ἀκούων παρὰ τοῦ πατρὸς καὶ μαθών, ἔρχε-
nit ad me. Non quia Patrem quisquam vidit, ˀsi non existens
ται πρός με· οὐχ ὅτι τὸν πατέρα τὶς ἑώρακεν, εἰ μὴ ὁ ὢν 46
à Deo: hic vidit Patrem. Amen, amen dico
παρὰ τοῦ θεοῦ· οὗτος ἑώρακε τὸν πατέρα. ἀμὴν ἀμὴν λέγω 47
vobis, *Credens in me, habet vitam æternam. Ego sum
ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, ἔχει ζωὴν αἰώνιον. ἐγώ εἰμι ὁ 48
panis vitæ. Patres vestri manducauerunt manna in
ἄρτος τῆς ζωῆς. οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ 49
deserto, & mortui sunt. Hic est panis de cælo
ἐρήμῳ, καὶ ἀπέθανον. οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ 50
descendens, vt *quis ex ipso manducauerit, & non moriatur.
καταβαίνων, ἵνα τὶς ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ.
Ego sum panis viuus, ˀille de cælo ‖descendens: si quis
ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις 51

*qui perit, ˀqui permanet, ˀeum, *enim, ˀqui descendit, ‖dat, ‖qui venit, ˀqui credit, ˀcredidistis, *eum qui venit, *eius qui misit, ‖enim, *resuscitem, ‖Patris mei qui misit, "qui videt, ˀcredit, *in, ᵃγογγύζω, "viuus qui descendi, ‖Nolite murmurare inuicem, ˀnisi, ‖qui misit, "in, ˀqui audiuit, ‖didicit, ˀnisi is qui est, *Qui credit, *si, ˀqui, ‖descendi:

māducauerit ex hoc pane, viuet in æternum: & panis
φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα· καὶ ὁ ἄρτος
autem quem ego dabo, caro mea est, quam ego dabo pro
δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς
mundi vita. Litigabant ergo ad inuicem Iudæi,
52 τοῦ κόσμου ζωῆς. ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ ἰουδαῖοι,
dicentes, Quomodo potest hic nobis dare carnem ˀmanducare?
λέγοντες, πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν;
Dixit ergo eis Iesus, Amen, amen dico vobis, ˀSi non
53 εἶπεν οὖν αὐτοῖς ὁ ἰησοῦς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ
manducaueritis carnem filii hominis, & biberitis eius
φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ
sanguinem, non *habetis vitam in vobis ipsis. "Manducans meam
54 αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ὁ τρώγων μου τὴν
carnem, & ˀbibens meum sanguinem, habet vitam æternam, & ego
σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ
resuscitabo eum ‖nouissimo die. Nam caro * mea ve-
55 ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. ἡ γὰρ σάρξ μου ἀλη-
rè est cibus, & sanguis meus verè est potus.
θῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις.
*Manducans meam carnem, & "bibens meum sanguinem, in me
56 ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ
manet, & ego in illo. Sicut misit me viuens Pa-
57 μένει, κἀγὼ ἐν αὐτῷ. καθὼς ἀπέστειλέ με ὁ ζῶν πα-
ter, & ego viuo propter Patrem: & * manducans me, & ipse vi-
τήρ, κἀγὼ ζῶ διὰ τὸν πατέρα· καὶ ὁ τρώγων με, κἀκεῖνος ζή-
uet propter me. Hic est panis qui de cælo *descendens, non
58 σεται δι᾽ ἐμέ. οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, οὐ
sicut manducauerunt patres vestri manna, & mortui sunt. ˀMan-
καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα, καὶ ἀπέθανον· ὁ τρώ-
ducans hunc panem, viuet in æternum.
γων τοῦτον τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα.
Hæc dixit in synagoga docens in Capharnaum.
59 ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν καπερναούμ.
Multi ergo audientes ex discipulis eius, dixerunt, Durus
60 πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον, σκληρός
est hic sermo: ˀquis potest eum audire? Sciens autem Ie-
61 ἐστιν οὗτος ὁ λόγος· τίς δύναται αὐτοῦ ἀκούειν; εἰδὼς δὲ ὁ ἰη-
sus *in seipso, quia murmurarent de hoc discipuli eius,
σοῦς ἐν ἑαυτῷ, ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ,
dixit eis, Hoc vos scandalizat? Si ergo videritis
62 εἶπεν αὐτοῖς, τοῦτο ὑμᾶς σκανδαλίζει; ἐὰν οὖν θεωρῆτε
filium hominis ascendentem vbi erat prius?
τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον;
Spiritus est "viuificans, caro non prodest quicquam.
63 τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν. τὰ
verba quæ ego ‖loquor vobis, spiritus sunt, & vita sunt.
ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμά ἐστι, καὶ ζωή ἐστιν.
Sed sunt ex vobis quidam qui non credunt: sciebat enim ab initio
64 ἀλλ᾽ εἰσὶν ἐξ ὑμῶν τινες οἳ οὐ πιστεύουσιν· ᾔδει γὰρ ἐξ ἀρχῆς
Iesus qui essent non credentes, & quis esset traditurus
ὁ ἰησοῦς τίνες εἰσὶν οἱ μὴ πιστεύοντες, καὶ τίς ἐστιν ὁ παραδώσων
eum. Et dicebat, Propter ˀhoc dixi vobis, quia nemo potest
65 αὐτόν. καὶ ἔλεγε, διὰ τοῦτο εἴρηκα ὑμῖν, ὅτι οὐδεὶς δύναται
venire ad me, ‖si non fuerit datum ei à Patre meo.
ἐλθεῖν πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ πατρός μου.
Ex hoc multi abierunt discipulorum eius in re-
66 ἐκ τούτου πολλοὶ ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπί-
trò, & non ˀamplius cũ illo ambulabant. Dixit ergo Ie-
67 σω, καὶ οὐκέτι μετ᾽ αὐτοῦ περιεπάτουν. εἶπεν οὖν ὁ ἰη-
sus ‖duodecim, Nũquid & vos vultis abire? Respondit
68 σοῦς τοῖς δώδεκα, μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; ἀπεκρίθη
ergo ei Simon Petrus, Domine, ad quem ibimus? ver-
οὖν αὐτῷ σίμων πέτρος, κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥή-
ba vitæ æternæ habes. Et nos credidimus & co-
69 ματα ζωῆς αἰωνίου ἔχεις. καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώ-
gnouimus quia tu es Christus filius Dei viuentis. Respondit
70 καμεν ὅτι σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ἀπεκρίθη
eis Iesus, Nonne ego vos duodecim elegi, & ex
αὐτοῖς ὁ ἰησοῦς, οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην, καὶ ἐξ
vobis vnus diabolus est? dicebat autem "Iudam Simonis Iscariotem:
71 ὑμῶν εἷς διάβολός ἐστιν; ἔλεγε δὲ τὸν ἰούδαν σίμωνος ἰσκαριώτην·
hic enim futurus erat eum *tradere, vnus existens ex duodecim.
οὗτος γὰρ ἤμελλεν αὐτὸν παραδιδόναι, εἷς ὢν ἐκ τῶν δώδεκα.

CAP. VII. ζ.

Et ambulabat ‖ Iesus post hæc in Galilæam: non
1 Καὶ περιεπάτει ὁ ἰησοῦς μετὰ ταῦτα ἐν τῇ γαλιλαίᾳ· οὐ
enim volebat in Iudæa ambulare: quia quærebant eum Iu-
γὰρ ἤθελεν ἐν τῇ ἰουδαίᾳ περιπατεῖν· ὅτι ἐζήτουν αὐτὸν οἱ ἰου-
dæi interficere. Erat autem ˀpropè festus Iu-
2 δαῖοι ἀποκτεῖναι. ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν ἰου-
dæorum, Scenopegia. Dixerunt "igitur ad eum fra-
3 δαίων ἡ σκηνοπηγία. εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελ-
tres eius, Transi hinc, & vade in Iudæam,
φοὶ αὐτοῦ, μετάβηθι ἐντεῦθεν, καὶ ὕπαγε εἰς τὴν ἰουδαίαν,
vt & discipuli tui videant opera tua quæ facis.
ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι τὰ ἔργα σου ἃ ποιεῖς.
Nemo quippe in occulto quid facit, & quærit ipse in "manifesto
4 οὐδεὶς γὰρ ἐν κρυπτῷ τὶ ποιεῖ, καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ

ˀsuam ad manducandum? ˀNisi, "Qui manducat, *habebitis, ˀbibit, ‖in *enim, *Qui māducat, "bibit, *qui manducat, *descendit, ˀQui manducat, ˀ&, *apud semetipsum, "qui viuificat, ‖locutus sum, ˀea, ‖nisi, ˀiam, ‖ad, "de Iuda, *traditurus cùm esset, ‖autem, ˀin proximo dies, "autem, "palam

esse. si hæc facis, manifesta teipsum mundo.
εἶναι. εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ.
Neque enim fratres eius credebant in eum.
οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. 5
Dicit ergo eis Iesus, Tempus meum nondum *adest,
λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς, ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν· ὁ 6
at tempus* vestrum semper est paratum. Non potest
δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος. οὐ δύναται 7
mundus odisse vos, me autem odit, quia ego "testor de
ὁ κόσμος μισεῖν ὑμᾶς· ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ
illo, quia opera eius mala sunt. Vos ascendite ad
αὐτοῦ, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν. ὑμεῖς ἀνάβητε εἰς 8
‖festum hunc: ego nondum ascendo ad ‖festum
τὴν ἑορτὴν ταύτην· ἐγὼ οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν
istum: quia tempus meum nondum impletum est.
ταύτην· ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται.
Hæc ?autem dicens eis, mansit in Galilæa.
ταῦτα δὲ εἰπὼν αὐτοῖς, ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ. 9
Vt autem ascenderunt fratres eius, tunc & ipse ascendit ad
ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς 10
‖festum, non manifestè, sed quasi in occulto.
τὴν ἑορτήν, οὐ φανερῶς, ἀλλ' ὡς ἐν κρυπτῷ.
Ipsi ergo Iudæi quærebant eum in ‖festo, & dicebant, Vbi
οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ, καὶ ἔλεγον, ποῦ 11
est ille? Et murmur multus de eo erat in
ἐστιν ἐκεῖνος; καὶ γογγυσμὸς πολὺς περὶ αὐτοῦ ἦν ἐν τοῖς 12
*turbis: hi quidem dicebant, Quia bonus est: alij‖ dicebant, Non,
ὄχλοις· οἱ μὲν ἔλεγον, ὅτι ἀγαθός ἐστιν. ἄλλοι ἔλεγον, οὔ·
sed seducit ?turbam. Nemo tamen palam loquebatur
ἀλλὰ πλανᾷ τὸν ὄχλον. οὐδεὶς μέντοι παρρησίᾳ ἐλάλει 13
de illo, propter metum Iudæorum. Iam autem ?fe-
περὶ αὐτοῦ, διὰ τὸν φόβον τῶν Ἰουδαίων. ἤδη δὲ τῆς ἑορ- 14
sto mediante, ascendit Iesus in templum, & docebat.
τῆς μεσούσης ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν, καὶ ἐδίδασκε.
Et mirabantur Iudæi, dicentes, Quomodo hic literas
καὶ ἐθαύμαζον οἱ Ἰουδαῖοι, λέγοντες, πῶς οὗτος γράμματα 15
scit ?non *doctus? Respondit ergo eis Iesus, & di-
οἶδε μὴ μεμαθηκώς; ἀπεκρίθη οὖν αὐτοῖς ὁ Ἰησοῦς, καὶ εἶ- 16
xit, Mea doctrina non est mea, sed *mittentis me.
πεν, ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με.
Si quis voluerit voluntatem eius facere, cognoscet de
ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς 17
doctrina, vtrùm ex Deo sit, an ego à meipso
διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ
loquar. Qui à semetipso ?loquens, gloriam propriam quæ-
λαλῶ. ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζη- 18
rit: "at quærens gloriam *mittentis eum, hic ve-
τεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτόν, οὗτος ἀλη-
rax est, & iniustitia in illo non est. *Non Moyses de-
θής ἐστι, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν. οὐ Μωσῆς δέδω- 19
dit vobis legem, & nemo ex vobis facit legem?
κεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον;
Quid me quæritis interficere? respondit turba, & dixit, De-
τί με ζητεῖτε ἀποκτεῖναι; ἀπεκρίθη ὁ ὄχλος, καὶ εἶπε, δαι- 20
monium habes: quis te quærit interficere? Respondit Iesus,
μόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι; ἀπεκρίθη ὁ Ἰησοῦς, 21
& dixit eis, Vnum opus feci, & omnes miramini.
καὶ εἶπεν αὐτοῖς, ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε.
Propter *hoc Moyses dedit vobis circuncisionem, (non quia ex
διὰ τοῦτο Μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομήν, οὐχ ὅτι ἐκ 22
Moyse est, sed ex patribus:) & in sabbato circun-
τοῦ Μωσέως ἐστίν, ἀλλ' ἐκ τῶν πατέρων· καὶ ἐν σαββάτῳ περι-
ciditis hominem. Si circuncisionem accipit ho-
τέμνετε ἄνθρωπον. εἰ περιτομὴν λαμβάνει ἄνθρω- 23
mo in sabbato, vt non ?soluatur lex Moysi: mihi indignamini
πος ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωσέως, ἐμοὶ χολᾶτε
quia totum hominem sanum feci in sabbato?
ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ;
?Ne iudicate secundum *speciem, sed iustum iudicium iudicate.
μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. 24
Dicebant ergo quidam ex "Hierosolymitis, Nonne hic est quem quærunt
ἔλεγον οὖν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν, οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν 25
interficere? Et ecce palàm loquitur, & nihil ei dicunt.
ἀποκτεῖναι; καὶ ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι· 26
nunquid verè cognouerunt principes, quia hic est Christus?
μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες, ὅτι οὗτός ἐστιν ὁ Χριστός;
Sed hunc scimus vnde sit: at Christus ‖ cùm ve-
ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρ- 27
nerit, nemo scit vnde sit. Clamabat ergo in
χηται, οὐδεὶς γινώσκει πόθεν ἐστίν. ἔκραξεν οὖν ἐν τῷ 28
templo docens Iesus, & dicens, Et me scitis, & scitis
ἱερῷ διδάσκων ὁ Ἰησοῦς, καὶ λέγων, κἀμὲ οἴδατε, καὶ οἴδατε
vnde sim, & à meipso non veni: sed est verus
πόθεν εἰμί, καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα· ἀλλ' ἔστιν ἀληθινὸς
"mittens me, quem vos ‖non nostis. Ego scio eum, * quia
ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε. ἐγὼ οἶδα αὐτόν, ὅτι 29
ab ipso sum, & ipse me misit. Quærebant ergo eum
παρ' αὐτοῦ εἰμι, κἀκεῖνός με ἀπέστειλεν. ἐζήτουν οὖν αὐτὸν 30
apprehédere, & nemo immisit in illum "manum, quia nondum ve-
πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύ-

*aduenit, | autem | "testimonium perhibeo | ‖diem | *cùm dixisset, ipse | ‖diem | ‖die | *turba. quidã enim ‖autem | ?turbas. | ?die | *cùm | *didicerit? | *eius qui misit | *loquitur, | "qui autem quærit | *eius qui misit | ?Nonne | *ea | ?λύω | ?Nolite iudicare | *faciem: | "Hierosolymis, | ‖autem | "qui misit | ‖nescitis. | *& si dixero quia nescio eũ, ero similis vobis mendax: sed scio eum, | "manus,

nerat hora eius. Multi autem de turba crediderunt in
θει ἡ ὥρα αὐτοῦ. πολλοὶ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν εἰς 31
eum, & dicebant, Quia Christus cùm venerit, nunquid plura si-
αὐτόν, καὶ ἔλεγον, ὅτι ὁ Χριστὸς ὅταν ἔλθῃ, μήτι πλείονα ση-
gna faciet "his quæ hic ‖fecit? Audierunt Pharisæi
μεῖα ποιήσει ὧν οὗτος ἐποίησεν; ἤκουσαν οἱ Φαρισαῖοι 32
turbam murmurantem de illo hæc, & miserunt
τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα, καὶ ἀπέστειλαν οἱ
Pharisæi & principes ministros, vt apprehenderent eum.
Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς ὑπηρέτας, ἵνα πιάσωσιν αὐτόν.
Dixit ergo" Iesus, Adhuc modicum tempus vobiscum sum, &
εἶπεν οὖν ὁ Ἰησοῦς, ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ 33
vado ad *mittentem me: quæretis me, & non inue-
ὑπάγω πρὸς τὸν πέμψαντά με. ζητήσετέ με, καὶ οὐχ εὑρή- 34
nietis: & vbi sum ego, vos non potestis venire.
σετε. καὶ ὅπου εἰμὶ ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν.
Dixerunt ergo Iudæi ad semetipsos, Quò hic *futurus est i-
εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς, ποῦ οὗτος μέλλει πο- 35
re, quia nos non inueniemus eum? nunquid in dispersionem
ρεύεσθαι, ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; μὴ εἰς τὴν διασπορὰν
"Græcorum futurus est ire, & docere Græcos?
τῶν Ἑλλήνων μέλλει πορεύεσθαι, καὶ διδάσκειν τοὺς Ἕλληνας;
Quis est hic sermo quem dixit, Quæretis me, & non inue-
τίς ἐστιν οὗτος ὁ λόγος ὃν εἶπε, ζητήσετέ με, καὶ οὐχ εὑρή- 36
nietis: & vbi sum ego, vos non potestis venire?
σετε· καὶ ὅπου εἰμὶ ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;
In autem nouissimo die magno festiuitatis stabat Ie-
ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ Ἰη- 37
sus, & clamabat, dicens, Si quis sitit, veniat ad me, & bi-
σοῦς, καὶ ἔκραξε, λέγων, ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πι-
bat. ‖Credens in me, sicut *dixit scriptura, flumina
νέτω. ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ 38
de ventre eius fluent aquæ viuæ. Hoc autem dixit
ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. τοῦτο δὲ εἶπε 39
de spiritu, quem futuri erant accipere credentes in
περὶ τοῦ πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς
eum: nondum enim erat spiritus ‖sanctus: quia Iesus nondum erat glorificatus.
αὐτόν· οὔπω γὰρ ἦν πνεῦμα ἅγιον· ὅτι ὁ Ἰησοῦς οὐδέπω ἐδοξάσθη.
"Multi ergo ex turba *audientes sermonem, dicebant, Hic
πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν λόγον, ἔλεγον, οὗτός 40
est verè propheta. Alij dicebant, Hic est Chri-
ἐστιν ἀληθῶς ὁ προφήτης· ἄλλοι ἔλεγον, οὗτός ἐστιν ὁ Χρι- 41
stus: ‖alij dicebant, ?Non enim ex Galilæa Christus ve-
στός· ἄλλοι ἔλεγον, μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρ-
nit? Nonne scriptura dicit, quia ex semine Dauid,
χεται; οὐχὶ ἡ γραφὴ εἶπεν, ὅτι ἐκ τοῦ σπέρματος Δαβίδ, 42
& de Bethleem "vico vbi erat Dauid, Christus venit?
καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης ὅπου ἦν Δαβίδ, ὁ Χριστὸς ἔρχεται;
Dissensio itaque in turba facta est propter eum.
σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο δι' αὐτόν. 43
Quidam autem volebant ex ipsis apprehendere eum: sed nemo im-
τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν· ἀλλ' οὐδεὶς ἐπέ- 44
misit super eum manus. Venerunt ergo ministri ad
βαλεν ἐπ' αὐτὸν τὰς χεῖρας. ἦλθον οὖν οἱ ὑπηρέται πρὸς 45
pontifices & Pharisæos, & dixerunt eis illi, Quare non
τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους. καὶ εἶπον αὐτοῖς ἐκεῖνοι, διατί οὐκ
adduxistis illum? Responderunt ministri, Nunquam sic
ἠγάγετε αὐτόν; ἀπεκρίθησαν οἱ ὑπηρέται, οὐδέποτε οὕτως 46
locutus est homo, sicut hic homo. Responde-
ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος. ἀπεκρίθη- 47
runt ergo eis Pharisæi, Nunquid & vos seducti estis?
σαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι, μὴ καὶ ὑμεῖς πεπλάνησθε;
Nũquid aliquis ex principibus credidit in eum, aut ex Phari-
μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτόν, ἢ ἐκ τῶν Φαρι- 48
sæis? Sed turba hæc "non noscens legem, male-
σαίων; ἀλλ' ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικα- 49
dicti sunt. ‖Dicit Nicodemus ad eos, ille "profectus
τάρατοί εἰσι. λέγει Νικόδημος πρὸς αὐτούς, ὁ ἐλθὼν 50
nocte ad eum, ‖vnus "existens ex ipsis: Nunquid lex nostra iudicat
νυκτὸς πρὸς αὐτόν, εἷς ὢν ἐξ αὐτῶν· μὴ ὁ νόμος ἡμῶν κρίνει 51
hominem, ‖si non audierit ab ipso priùs, & cognouerit
τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον, καὶ γνῷ
quid faciat? Responderunt, & dixerunt ei, Nunquid & tu ?ex Ga-
τί ποιεῖ; ἀπεκρίθησαν, καὶ εἶπον αὐτῷ, μὴ καὶ σὺ ἐκ τῆς Γα- 52
lilæa es? scrutare*, & vide, quia propheta ex Galilæa non
λιλαίας εἶ; ἐρεύνησον, καὶ ἴδε ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ
surrexit. Et ?reuersus est vnusquisque in domum suam.
ἐγήγερται. καὶ ἐπορεύθη ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. 53

CAP. VIII. η'

Iesus autem perrexit in montem "olearum.
Ἰησοῦς δὲ ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν. 1
?Diluculo autem iterum *accessit in templum: & omnis populus
ὄρθρου δὲ πάλιν παρεγένετο εἰς τὸ ἱερόν, καὶ πᾶς ὁ λαὸς 2
venit ad eum, & sedens docebat eos. Adducunt autẽ
ἤρχετο πρὸς αὐτόν, καὶ καθίσας ἐδίδασκεν αὐτούς. ἄγουσι δὲ 3
scribæ & Pharisæi ad eum mulierem in adul-
οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι πρὸς αὐτὸν γυναῖκα ἐπὶ μοι-
terio deprehensam, & *statuentes eam in medio,
χείᾳ κατειλημμένην, καὶ στήσαντες αὐτὴν ἐν μέσῳ,

"quàm ‖facit? | "eis | *eum qui misit | *iturus est, | "gentium iturus est, & docturus gentes? | ‖Qui credit | *dicit | accepturi erant | ‖datus: | "Ex illa ergo | *cùm audissẽt hos sermones eius, | ‖quidam autẽ | ?Nunquid à | "castello, | "quæ nõ nouit | ‖Dixit | "qui venit | ‖qui "erat | ‖nisi | ?Galilæus es? | *scripturas, | ?reuersi sunt | "Olıueti. | ?Et *venit | *statuerunt

*Dicunt ei: Magister, ‖hanc inuenimus in ipso
λέγουσιν αὐτῷ, διδάσκαλε, ταύτην εὕρομεν ἐπαυτο- 4
furto adulterantem. In autem Lege nostra Moyses man-
φώρῳ μοιχευομένην. ἐν δὲ τῷ νόμῳ ἡμῶν μωσῆς ἐνε- 5
dauit ? huiusmodi *lapidari. Tu ergo quid dicis?
τείλατο τὰς τοιαύτας λιθοβολεῖσθαι. σὺ οὖν τί λέγεις;
Hoc autem dicebant tentantes eum, vt " haberent accusationem
τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτὸν, ἵνα ἔχωσι κατηγορεῖν 6
aduersus eum. At Iesus * deorsum inclinans, digito scribebat
κατ' αὐτοῦ. ὁ δὲ ἰησοῦς κάτω κύψας, τῷ δακτύλῳ ἔγραφεν
in ‖terram, non simulans. ? Vt autem perseuerarent inter-
εἰς τὴν γῆν, μὴ προσποιούμενος. ὡς δὲ ἐπέμενον ἐρω- 7
rogantes eum, " erectus ait ad eos: Qui sine peccato est
τῶντες αὐτὸν, ἀνακύψας εἶπε πρὸς αὐτοὺς, ὁ ἀναμάρτητος
vestrûm, primus lapidem in illam * iaciat.
ὑμῶν, πρῶτος τὸν λίθον ἐπ' αὐτῇ βαλέτω.
Et iterum ‖ deorsum inclinans, scribebat in terram.
καὶ πάλιν κάτω κύψας ἔγραφεν εἰς τὴν γῆν. 8
Ii autem audientes", & à conscientia redarguti,
οἱ δὲ ἀκούσαντες καὶ ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι 9
exibant vnus post vnum, incipientes à senioribus vsque
ἐξήρχοντο εἷς καθεῖς, ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων ἕως
extremos: & * relictus est solus Iesus, & mulier in me-
τῶν ἐσχάτων· καὶ κατελείφθη μόνος ὁ ἰησοῦς, καὶ ἡ γυνὴ ἐν μέ-
dio ‖ existens. Erectus autem Iesus, & neminem spectans
σῳ οὖσα. ἀνακύψας δὲ ὁ ἰησοῦς, καὶ μηδένα θεασάμενος 10
præter mulierem, dixit ei: ? Vbi sunt " illi accusato-
πλὴν τῆς γυναικὸς, εἶπεν αὐτῇ, ποῦ εἰσιν ἐκεῖνοι οἱ κατήγο-
res tui? nemo te condemnauit? * Illa autē dixit: Nemo, Domine.
ροί σου; οὐδείς σε κατέκρινεν; ἡ δὲ εἶπεν, οὐδείς, κύριε. 11
Dixit autem et Iesus: Nec ego te ‖ condemno. Vade, &
εἶπε δὲ αὐτῇ ὁ ἰησοῦς, οὐδὲ ἐγώ σε κατακρίνω. πορεύου, καὶ
? ab hoc nunc non amplius pecca. Iterum ergo eis Ie-
ἀπὸ τοῦ νῦν μηκέτι ἁμάρτανε. πάλιν οὖν αὐτοῖς ὁ ἰη- 12
sus locutus est, dicens: Ego sum lux mundi. * se-
σοῦς ἐλάλησε, λέγων, ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολου-
quens me, non ‖ ambulabit in tenebris: sed habebit lumen
θῶν ἐμοὶ, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς
vitæ. Dixerunt ergo ei Pharisæi: Tu de temetipso * te-
ζωῆς. εἶπον οὖν αὐτῷ οἱ φαρισαῖοι, σὺ περὶ σεαυτοῦ μαρ- 13
staris: testimonium tuum non est verum. Respondit
τυρεῖς; ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. ἀπεκρίθη 14
Iesus, & dixit eis: Et si ego ‖ testor de meipso, ve-
ἰησοῦς καὶ εἶπεν αὐτοῖς, κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀλη-
rum est testimonium meum: quia scio vnde veni, & quò va-
θής ἐστιν ἡ μαρτυρία μου· ὅτι οἶδα πόθεν ἦλθον, καὶ ποῦ ὑπά-
do: vos autem nescitis vnde venio, * & quò vado.
γω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι, καὶ ποῦ ὑπάγω.
Vos secundum carnem iudicatis: ego non iudico quenquam.
ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα. 15
Et si iudico autem ego, iudicium meum verum est: quia so-
καὶ ἐὰν κρίνω δὲ ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν· ὅτι μό- 16
lus non sum, sed ego & ? mittens me Pater.
νος οὐκ εἰμὶ, ἀλλ' ἐγὼ, καὶ ὁ πέμψας με πατήρ.
Et in Lege verò vestra scriptum est: Quia duorū ho-
καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀν- 17
minum testimonium verum est. Ego sum " testifi-
θρώπων ἡ μαρτυρία ἀληθής ἐστιν. ἐγώ εἰμι ὁ μαρτυ- 18
cans de meipso: & * testatur de me ‖ mittens me,
ρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με
Pater. Dicebant ergo ei: Vbi est Pater tuus? Respon-
πατήρ. ἔλεγον οὖν αὐτῷ, ποῦ ἐστιν ὁ πατήρ σου; ἀπεκρί- 19
dit Iesus: Neque me scitis, neque Patrem meum. si me sciretis,
θη ὁ ἰησοῦς, οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου. εἰ ἐμὲ ᾔδειτε,
? & Patrem meum sciretis nimirum. Hæc verba
καὶ τὸν πατέρα μου ᾔδειτε ἄν. ταῦτα τὰ ῥήματα 20
locutus est Iesus in gazophylacio, docens in tem-
ἐλάλησεν ὁ ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱε-
plo: & nemo apprehendit eum, quia necdum venerat hora eius.
ρῷ, καὶ οὐδεὶς ἐπίασεν αὐτόν· ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.
Dixit ergo iterum eis Iesus: Ego vado: & quære-
εἶπεν οὖν πάλιν αὐτοῖς ὁ ἰησοῦς, ἐγὼ ὑπάγω, καὶ ζητήσε- 21
tis me, & in peccato vestro moriemini. Quò ego va-
τέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε. ὅπου ἐγὼ ὑπά-
do, vos non potestis venire. Dicebant ergo Iudæi:
γω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. ἔλεγον οὖν οἱ ἰουδαῖοι, 22
Nunquid interficiet semetipsum, quia dicit: Quò ego vado, vos non
μήτι ἀποκτενεῖ ἑαυτὸν, ὅτι λέγει, ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ
potestis venire? Et dicebat eis: Vos de deorsum
δύνασθε ἐλθεῖν; καὶ εἶπεν αὐτοῖς, ὑμεῖς ἐκ τῶν κάτω 23
estis, ego * ex sursum sum. vos de mundo hoc estis, ego
ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστὲ, ἐγὼ
non sum de mundo hoc. Dixi ergo vobis quia mo-
οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου. εἶπον οὖν ὑμῖν ὅτι ἀπο- 24
riemini in peccatis vestris. si enim non credideritis quia
θανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι
ego sum, moriemini in ‖ peccatis vestris.
ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν.
Dicebant ergo ei: Tu quis es? Et dixit illis Iesus:
ἔλεγον οὖν αὐτῷ, σὺ τίς εἶ; καὶ εἶπεν αὐτοῖς ὁ ἰησοῦς, τὴν 25

*Et dixerunt
‖ hæc mulier modò deprehensa est in adulterio.
? nobis
* lapidare.
" possent accusare
* autem se
‖ terra. Cùm ergo
" erexit se, & dixit eis:
* mittat.
‖ se
" hæc
* remansit
‖ stans. Erigēs se
? Mulier,
" qui te accusabant?
* Quæ
‖ condemnabo.
? iam amplius noli peccare.
* qui sequitur
‖ ambulat
* testimonium perhibes?
‖ testimonium perhibeo
* aut
? qui misit
" qui testimonium perhibeo
* testimonium perhibet
‖ qui misit
? forsitan
* de supernis
‖ peccato vestro.

Principiū, * quòd & loquor vobis. Multa habeo de vobis loqui
26 ἀρχὴν ὅτι καὶ λαλῶ ὑμῖν. πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν
& iudicare. sed ‖ mittens me verax est: & ego quæ audiui
καὶ κρίνειν, ἀλλ' ὁ πέμψας με ἀληθής ἐστι. κἀγὼ ἃ ἤκουσα
ab eo, hæc loquor in ? mundum. Non cognouerūt quia
27 παρ' αὐτοῦ, ταῦτα λέγω εἰς τὸν κόσμον. οὐκ ἔγνωσαν ὅτι
Patrem eis dicebat ". Dixit ergo eis Iesus: Cùm
28 τὸν πατέρα αὐτοῖς ἔλεγεν. εἶπεν οὖν αὐτοῖς ὁ ἰησοῦς, ὅταν
exaltaueritis filium hominis, tunc cognoscetis quia ego sum, &
ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι, καὶ
à meipso facio nihil: sed sicut docuit me Pater
ἀπ' ἐμαυτοῦ ποιῶ οὐδὲν, ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ πατήρ
meus, hæc loquor. Et * mittens me cum me est:
29 μου, ταῦτα λαλῶ. καὶ ὁ πέμψας με, μετ' ἐμοῦ ἐστιν·
‖ non reliquit me solum Pater, quia ego ? placita ei, facio
οὐκ ἀφῆκέ με μόνον ὁ πατήρ· ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ
semper. Hæc illo loquente, multi crediderunt in
30 πάντοτε. ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς
eum. Dicebat ergo Iesus ad * credentes
31 αὐτόν. ἔλεγεν οὖν ὁ ἰησοῦς πρὸς τοὺς πεπιστευκότας
ei, Iudæos: Si vos manseritis in sermone meo, ve-
αὐτῷ ἰουδαίους, ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀλη-
rè discipuli mei eritis: Et cognoscetis veritatem: & veri-
32 θῶς μαθηταί μου ἐστέ· καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλή-
tas ? liberos faciet vos. Responderunt ei: Semen
33 θεια ἐλευθερώσει ὑμᾶς. ἀπεκρίθησαν αὐτῷ, σπέρμα
Abrahæ sumus, & nemini seruiuimus vnquam: quomodo tu
ἀβραάμ ἐσμεν, καὶ οὐδενὶ " δεδουλεύκαμεν πώποτε· πῶς σὺ
dicis, Quòd liberi eritis? Respondit eis Ie-
34 λέγεις, ὅτι ἐλεύθεροι γενήσεσθε; ἀπεκρίθη αὐτοῖς ὁ ἰη-
sus: Amen, amen dico vobis, quia omnis ‖ faciens peccatum,
σοῦς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν,
seruus est peccati. At seruus ? non manet in domo
35 δοῦλός ἐστι τῆς ἁμαρτίας. ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ
in æternum: filius manet in æternum. Si ergo filius vos
36 εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς
liberauerit, verè liberi eritis. Scio quia " semen
37 ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε. οἶδα ὅτι σπέρμα
Abrahæ estis: sed quæritis me interficere, quia sermo meus
ἀβραάμ ἐστε, ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς
non capit in vobis. Ego quod vidi apud Patrem meū,
38 οὐ χωρεῖ ἐν ὑμῖν. ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου,
loquor: & vos igitur * quod vidistis apud patrem vestrum,
λαλῶ· καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν,
facitis. Responderunt & dixerunt ei: Pater noster A-
39 ποιεῖτε. ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, ὁ πατὴρ ἡμῶν ἀ-
braham est. Dicit eis Iesus: Si filij Abrahæ ‖ essetis,
βραάμ ἐστι. λέγει αὐτοῖς ὁ ἰησοῦς, εἰ τέκνα τοῦ ἀβραάμ ἦτε, τὰ
opera Abrahæ ? faceretis. Nunc autē, quæritis me interficere,
40 ἔργα τοῦ ἀβραὰμ ἐποιεῖτε. νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι,
hominem, qui veritatem vobis locutus sum, quam audiui à
ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ
Deo. hoc Abraham non fecit. Vos facitis
41 τοῦ θεοῦ· τοῦτο ἀβραὰμ οὐκ ἐποίησεν. ὑμεῖς ποιεῖτε τὰ
opera patris vestri. Dixerunt itaque ei: Nos ex fornicatione nō
ἔργα τοῦ πατρὸς ὑμῶν. εἶπον οὖν αὐτῷ, ἡμεῖς ἐκ πορνείας οὐ
sumus * facti. vnum patrem habemus Deum. Dixit ‖ eis
42 γεγεννήμεθα. ἕνα πατέρα ἔχομεν τὸν θεόν. εἶπεν αὐτοῖς
Iesus: Si Deus Pater vester esset, diligeretis vtique me: ego enim
ὁ ἰησοῦς, εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ
ex Deo ? profectus sum, & veni: neque enim à meipso veni,
ἐκ τοῦ θεοῦ ἐξῆλθον, καὶ ἥκω· οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα,
sed ille me misit. * Propter quid loquelam meam
43 ἀλλ' ἐκεῖνός με ἀπέστειλε. διατί τὴν λαλιὰν τὴν ἐμὴν
non cognoscitis? Quia non potestis audire sermonem meum.
οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.
Vos ex patre diabolo estis, & desideria
44 ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας
patris vestri vultis facere. ille homicida erat
τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. ἐκεῖνος ἀνθρωποκτόνος ἦν
ab initio, & in veritate non stetit: quia non est veri-
ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν· ὅτι οὐκ ἔστιν ἀλή-
tas in eo. cùm loquitur mendacium, ex propriis loquitur: quia
θεια ἐν αὐτῷ. ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ· ὅτι
mendax est, & pater eius.
ψεύστης ἐστὶ, καὶ ὁ πατὴρ αὐτοῦ.
Ego autē quia veritatem dico, non creditis mihi.
45 ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι.
Quis ex vobis " arguit me de peccato? Si autem veritatem
46 τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ δὲ ἀλήθειαν
dico, * propter quid vos non creditis mihi?
λέγω, διατί ὑμεῖς οὐ πιστεύετέ μοι;
‖ Existens ex Deo, verba Dei audit. ? Propter hoc
47 ὁ ὢν ἐκ τοῦ θεοῦ, τὰ ῥήματα τοῦ θεοῦ ἀκούει. διὰ τοῦτο
vos non auditis, quia ex Deo non estis.
ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ.
Responderunt ergo Iudæi, & dixerunt ei: " Non pulchrè
48 ἀπεκρίθησαν οὖν οἱ ἰουδαῖοι, καὶ εἶπον αὐτῷ, οὐ καλῶς
dicimus nos, quia Samaritanus es tu, & dæmonium habes?
λέγομεν ἡμεῖς, ὅτι σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις;

* qui
‖ qui misit
? mundo. Et
" Deum.
* qui me misit,
mecum
‖ &
? quæ sunt
* eos qui crediderunt
? liberabit
" δουλεύω
‖ qui facit
? autem
" filij
* quæ
‖ estis,
? facite.
* nati.
‖ ergo
? processi,
* Quare
" arguet
* quare
‖ Qui est
? Propterea
" Nonne bene

Respondit Iesus: Ego dæmonium non habeo: sed honorifico
ἀπεκρίθη ἰησοῦς, ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν 49
Patrem meum, & vos inhonoratis me. Ego autẽ non quæro
πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. ἐγὼ δὲ οὐ ζητῶ 50
gloriam meam. est *quærens & iudicans. Amen, amen dico
τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων. ἀμὴν ἀμὴν λέγω 51
vobis, si quis sermonem meum seruauerit, mortem non videbit
ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ
in æternum. Dixerunt ergo ei Iudæi: Nunc cogno-
εἰς τὸν αἰῶνα. εἶπον οὖν αὐτῷ οἱ ἰουδαῖοι, νῦν ἐγνώ- 52
uimus quia dæmonium habes. Abraham mortuus est & Prophetæ:
καμεν ὅτι δαιμόνιον ἔχεις· ἀβραὰμ ἀπέθανε καὶ οἱ προφῆται·
& tu dicis, Si quis sermonem meum seruauerit, non gustabit
καὶ σὺ λέγεις, ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύσεται
mortem in æternum? ‖Non tu maior es patre nostro
θανάτου εἰς τὸν αἰῶνα; μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν 53
Abraham, qui mortuus est? & Prophetæ mortui sunt. Quem te-
ἀβραάμ, ὅστις ἀπέθανε; καὶ οἱ προφῆται ἀπέθανον. τίνα σε-
ipsum tu facis? Respondit Iesus: Si ego glorifico
αυτὸν σὺ ποιεῖς; ἀπεκρίθη ἰησοῦς, ἐὰν ἐγὼ δοξάζω 54
meipsum, gloria mea nihil est. est Pater meus ?glorificans
ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ πατήρ μου ὁ δοξάζων
me, quem vos dicitis quia Deus vester est: Et non cognouistis
με, ὃν ὑμεῖς λέγετε ὅτι θεὸς ὑμῶν ἐστι· καὶ οὐκ ἐγνώκατε 55
eum, ego autẽ noui eum. Et si dixero quia non scio eum, ero
αὐτόν, ἐγὼ δὲ οἶδα αὐτόν· καὶ ἐὰν εἴπω ὅτι οὐκ οἶδα αὐτόν, ἔσομαι
similis vobis, mendax:. Sed scio eum, & sermonem eius seruo.
ὅμοιος ὑμῶν, ψεύστης· ἀλλ' οἶδα αὐτόν, καὶ τὸν λόγον αὐτοῦ τηρῶ.
Abraham pater vester exultauit vt videret diem
ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν 56
meum: & vidit, & gauisus est. Dixerunt ergo Iudæi ad
τὴν ἐμήν· καὶ εἶδε, καὶ ἐχάρη. εἶπον οὖν οἱ ἰουδαῖοι πρὸς 57
eum: Quinquaginta annos nondum habes, & Abraham vidisti?
αὐτόν, πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ ἀβραὰμ ἑώρακας;
Dixit eis Iesus: Amen, amen dico vobis, *prius Abra-
εἶπεν αὐτοῖς ὁ ἰησοῦς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν ἀβρα- 58
ham ‖fieri, ego sum. Tulerunt ergo lapides vt iacerent in
ὰμ γενέσθαι, ἐγώ εἰμι. ᵃἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ' 59
eum. Iesus autem abscondit se, & exiuit de templo, transiens
αὐτόν. ἰησοῦς δὲ ᵇἐκρύβη, καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ, διελθὼν
per medium eorum, & præteriit sic.
διὰ μέσου αὐτῶν, καὶ παρῆγεν οὕτως.

*qui quærat, iudicet. ‖Nunquid ?qui glorificat *antequàm ‖fieret, ᵃαἴρω καὶ αἴρομαι ᵇκρύπτω

CAP. IX. θ'.

Et præteriens*, vidit hominem cæcum ‖ex natiuitate.
Καὶ παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς. 1
Et interrogauerunt eum discipuli eius, dicentes: Rabbi,
καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες, ῥαββί, 2
quis peccauit, hic aut parentes eius, vt cæcus nasceretur?
τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;
Respondit Iesus: Neque hic peccauit, neque parentes eius:
ἀπεκρίθη ἰησοῦς, οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ· 3
sed vt manifestentur opera Dei in illo.
ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ θεοῦ ἐν αὐτῷ.
Me oportet operari opera *mittentis me, donec dies
ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με ἕως ἡμέρα 4
est. Venit nox, quando nemo potest operari. Quamdiu in
ἐστιν. ἔρχεται νὺξ ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι. ὅταν ἐν τῷ 5
mundo sum, lux sum mundi. Hæc ‖dicens, expuit ?hu-
κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου. ταῦτα εἰπών, ἔπτυσε χα- 6
mi, & fecit lutum ex sputo, & liniuit lutum
μαί, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν
super oculos *cæci: Et dixit ei: Vade
ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, καὶ εἶπεν αὐτῷ, ὕπαγε, 7
laua in ‖natatoriam Siloam, quod interpretatur, Mis-
νίψαι εἰς τὴν κολυμβήθραν τοῦ σιλωάμ, ὃ ἑρμηνεύεται ἀπεσταλ-
sus. Abiit ergo & lauit: & venit videns.
μένος. ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων.
Itaque vicini & ?spectantes eum prius quia
οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον ὅτι 8
*cæcus erat, dicebant: Nonne hic est *sedens & mendicans?
τυφλὸς ἦν, ἔλεγον, οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν;
Alij dicebant: Quia hic est. Alij autem, ‖quòd similis ei
ἄλλοι ἔλεγον, ὅτι οὗτός ἐστιν· ἄλλοι δέ, ὅτι ὅμοιος αὐτῷ 9
est. Ille ? dicebat: Quia ego sum. Dicebant ergo ei: Quomodo
ἐστιν· ἐκεῖνος ἔλεγεν, ὅτι ἐγώ εἰμι. ἔλεγον οὖν αὐτῷ, πῶς 10
aperti sunt tibi oculi? Respondit ille
ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί; ἀπεκρίθη ἐκεῖνος 11
& ait: Homo *dictus Iesus, lutum fecit, &
καὶ εἶπεν, ἄνθρωπος λεγόμενος ἰησοῦς πηλὸν ἐποίησε, καὶ
vnxit meos oculos, & dixit mihi: Vade ad
ἐπέχρισέ μου τοὺς ὀφθαλμούς, καὶ εἶπέ μοι, ὕπαγε εἰς τὴν
natatoriam ‖Siloam, & laua. ?Abiens autem & lo-
κολυμβήθραν τοῦ σιλωάμ, καὶ νίψαι· ἀπελθὼν δὲ καὶ νιψά-
tus vidi. *Dixerunt ergo ei: Vbi est ille?
μενος ἀνέβλεψα. εἶπον οὖν αὐτῷ, ποῦ ἐστιν ἐκεῖνος; 12
Ait: Nescio. Adducunt eum ad Pharisæos
λέγει, οὐκ οἶδα. ἄγουσιν αὐτὸν πρὸς τοὺς φαρισαίους 13
*illum nuper cæcum. Erat autem Sabbatum, quando lutum
τόν ποτε τυφλόν. ἦν δὲ σάββατον, ὅτε τὸν πηλὸν 14

*Iesus, ‖à *eius qui misit ‖cùm dixisset, ?in terram, *eius. ‖natatoria Siloe, ?qui viderant "mendicus *qui sedebat, & médicabat? ‖Nequaquam, sed ?verò *qui dicitur ‖Siloe, ?Et abij, & laui, & *Et *qui cæcus fuerat.

fecit Iesus, & aperuit eius oculos.
ἐποίησεν ὁ ἰησοῦς, καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς.
Iterum ergo interrogabant eum & Pharisæi quomodo vidis-
πάλιν οὖν ἠρώτων αὐτὸν καὶ οἱ φαρισαῖοι πῶς ἀνέβλε- 15
set. *At dixit eis: Lutum imposuit mihi super ocu-
ψεν. ὁ δὲ εἶπεν αὐτοῖς, πηλὸν ἐπέθηκέ μοι ἐπὶ τοὺς ὀφθαλ-
los, & laui: & video. Dicebant ergo ex Pha-
μούς, καὶ ἐνιψάμην, καὶ βλέπω. ἔλεγον οὖν ἐκ τῶν φα- 16
risæis quidam, Hic homo non est à Deo, ‖quòd
ρισαίων τινές, οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ τοῦ θεοῦ· ὅτι τὸ
Sabbatum non custodit. Alij ? dicebant: Quomodo potest homo
σάββατον οὐ τηρεῖ. ἄλλοι ἔλεγον, πῶς δύναται ἄνθρωπος
peccator "talia signa facere? Et schisma erat *in ipsis.
ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; καὶ σχίσμα ἦν ἐν αὐτοῖς.
Dicunt ergo cæco iterum: Tu, quid dicis de illo, ‖quòd
λέγουσιν οὖν τῷ τυφλῷ πάλιν, σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι 17
aperuit tuos oculos? Ille autẽ dixit: Quia Propheta est.
ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ὁ δὲ εἶπεν, ὅτι προφήτης ἐστίν.
Non crediderunt ergo Iudæi de illo quia cæcus ?erat
οὐκ ἐπίστευσαν οὖν οἱ ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς ἦν, 18
& vidit, vsque quo vocauerunt parentes eius "illius vi-
καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀνα-
dentis: Et interrogauerunt eos, dicentes: Hic est
βλέψαντος· καὶ ἠρώτησαν αὐτούς, λέγοντες, οὗτός ἐστιν 19
filius vester, quem vos dicitis quia cæcus natus est? Quomodo ergo
ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν
nunc videt? Responderunt autem eis parentes eius,
ἄρτι βλέπει; ἀπεκρίθησαν δὲ αὐτοῖς οἱ γονεῖς αὐτοῦ 20
& dixerunt: Scimus quia hic est filius noster, & quia cæcus
καὶ εἶπον, οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς
natus est: Quomodo autẽ nunc * videt, nescimus, aut quis
ἐγεννήθη· πῶς δὲ νῦν βλέπει, οὐκ οἴδαμεν, ἢ τίς 21
aperuit eius oculos, nos nescimus. ipse
ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμούς, ἡμεῖς οὐκ οἴδαμεν. αὐτὸς
ætatem habet, ipsum interrogate. ipse de seipso loquatur.
ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε· αὐτὸς περὶ ἑαυτοῦ λαλήσει.
Hæc dixerunt parentes eius, quoniam timebant Iudæos.
ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς ἰουδαίους· 22
iam enim ‖constituerant Iudæi, vt si quis eum confiteretur?
ἤδη γὰρ συνετέθειντο οἱ ἰουδαῖοι, ἵνα ἐάν τις αὐτὸν ὁμολογήσῃ
Christum, extra synagogam fieret. *Propter hoc parentes
χριστόν, ἀποσυνάγωγος γένηται. διὰ τοῦτο οἱ γονεῖς 23
eius dixerunt: Quia ætatem habet, ipsum interrogate.
αὐτοῦ εἶπον, ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε.
Vocauerunt ergo ‖ex secundo hominem qui fuerat cæcus,
ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον ὃς ἦν τυφλός, 24
& dixerunt ei: Da gloriam Deo. nos scimus quia ho-
καὶ εἶπον αὐτῷ, δὸς δόξαν τῷ θεῷ· ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄν-
mo hic peccator est. ?Respondit ergo ille,
θρωπος οὗτος ἁμαρτωλός ἐστιν. ἀπεκρίθη οὖν ἐκεῖνος 25
& ait: Si peccator est, nescio: vnum scio, quia cæcus
καὶ εἶπεν, εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς
"existens, modò video. Dixerunt *autem illi rursum: Quid fecit
ὤν, ἄρτι βλέπω. εἶπον δὲ αὐτῷ πάλιν, τί ἐποίησέ 26
tibi? quomodo aperuit ‖tuos oculos? Respondit eis:
σοι; πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ἀπεκρίθη αὐτοῖς, 27
Dixi vobis iam, & non audistis: quid iterum vultis audire?
εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν;
‖num & vos vultis eius discipuli fieri?
μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι;
?Conuitiati sunt ergo ei, & dixerunt: Tu sis discipulus illius:
ᵃἐλοιδόρησαν οὖν αὐτόν, καὶ εἶπον, σὺ εἶ μαθητὴς ἐκείνου, 28
nos autem Moysi sumus discipuli. Nos scimus quia
ἡμεῖς δὲ τοῦ μωσέως ἐσμὲν μαθηταί. ἡμεῖς οἴδαμεν ὅτι 29
Moysi locutus est Deus: hunc autem nescimus vnde "est.
μωσῇ λελάληκεν ὁ θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν.
Respondit ille homo, & dixit eis: In enim hoc
ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς, ἐν γὰρ τούτῳ 30
mirabile est, quia vos nescitis vnde sit, & ape-
θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστί, καὶ ἀνέῳ-
ruit meos oculos.
ξέ μου τοὺς ὀφθαλμούς·
Scimus autem quia peccatores Deus non audit: sed si quis
οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν ὁ θεὸς οὐκ ἀκούει, ἀλλ' ἐάν τις 31
Dei cultor ?sit, & voluntatem eius ‖faciat, hunc "audit.
θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει.
*Ex seculo non auditum est quia aperuit quis oculos cæ-
ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυ- 32
ci nati.
φλοῦ γεγεννημένου.
‖Si non esset hic à Deo, non poterat facere quicquam.
εἰ μὴ ἦν οὗτος παρὰ θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. 33
Responderunt & dixerunt ei: In peccatis tu natus es
ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, ἐν ἁμαρτίαις σὺ ἐγεννήθης 34
totus: & tu doces nos? Et eiecerunt eum foras.
ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; καὶ ἐξέβαλον αὐτὸν ἔξω.
Audiuit Iesus quia eiecerunt eum foras: & ?inueniens eum,
ἤκουσεν ὁ ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν αὐτόν, 35
dixit ei: Tu credis in filium Dei?
εἶπεν αὐτῷ, σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ;

"Ille autem ‖qui ?autem "hæc *inter eos. ‖qui ?fuisset & vidisset: donec "qui viderat. *videat, ‖conspirauerãt ?esse *Propterea ‖rursum ?Dixit ergo eis ille: "cùm essem, *ergo ‖tibi ‖nunquid ?Maledixerunt ᵃλοιδορέω "sit. ?est, ‖facit, "exaudit. ?A ‖Nisi ?cùm inuenisses

Respondit ille, & dixit: Et quis est Domine, vt cre-
ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε, καὶ τίς ἐστι κύριε, ἵνα πιστεύ- 36
dam in eum? Dixit autem ei Iesus: Et vidisti eum:
σω εἰς αὐτόν; εἶπε δὲ αὐτῷ ὁ ἰησοῦς, καὶ ἑώρακας αὐτὸν, 37
& loquens cum te, ille est. At ait: Credo
καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν. ὁ δὲ ἔφη, πιστεύω 38
Domine. Et adorauit eum. Et dixit ei Iesus: In
κύριε· καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπεν ὁ ἰησοῦς, εἰς 39
iudicium ego in mundum hunc veni: vt non videntes
κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες
videant, & videntes cæci fiant. Et audierunt
βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. καὶ ἤκουσαν 40
ex Pharisæis hæc existentes cum eo, & dixerunt ei:
ἐκ τῶν φαρισαίων ταῦτα οἱ ὄντες μετ᾽ αὐτοῦ, καὶ εἶπον αὐτῷ,
Num & nos cæci sumus? Dixit eis Iesus: Si
μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; εἶπεν αὐτοῖς ὁ ἰησοῦς, εἰ 41
cæci essetis, non haberetis peccatum. nunc verò dicitis: Quia vi-
τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε, ὅτι βλέ-
demus. igitur peccatum vestrum manet.
πομεν. ἡ οὖν ἁμαρτία ὑμῶν μένει.

Margin: qui loquitur tecum, ipse · At ille · procidens · ei · qui non vident, · qui vident, · quidam · qui cum ipso erant: · Nunquid

CAP. X. ί.

Amen, amen dico vobis, non intrans per ostium
Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας 1
in ouile ouium, sed ascendens aliunde,
εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν,
ille fur est & latro. Ille verò intrans per
ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ 2
ostium, pastor est ouium. Huic ostiarius
τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. τούτῳ ὁ θυρωρὸς 3
aperit: & oues vocem eius audiunt: & proprias
ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια
oues vocat iuxta nomen, & educit eas.
πρόβατα καλεῖ κατ᾽ ὄνομα, καὶ ἐξάγει αὐτά.
Et cùm proprias oues emiserit, ante eas
καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν 4
vadit: & oues illum sequuntur, quia sciunt vo-
πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ· ὅτι οἴδασι τὴν φω-
cem eius. Alienum autem non sequentur sed
νὴν αὐτοῦ. ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ 5
fugient ab eo: quia non nouerunt alienorum vocem.
φεύξονται ἀπ᾽ αὐτοῦ· ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν.
Hoc prouerbium dixit eis Iesus. Illi autē non
ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ ἰησοῦς. ἐκεῖνοι δὲ οὐκ 6
cognouerūt quanā essent quæ loquebatur eis. Dixit ergo iterum
ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. εἶπεν οὖν πάλιν 7
eis Iesus: Amen, amen dico vobis, quia ego sum ostium
αὐτοῖς ὁ ἰησοῦς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα
ouium. Omnes quotquot venerunt, fures sunt & la-
τῶν προβάτων. πάντες ὅσοι ἦλθον, κλέπται εἰσὶ καὶ λῃ- 8
trones: sed non audierunt eos oues.
σταί. ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα.
Ego sum ostium. per me si quis introierit, saluabitur: &
ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ 9
ingredietur & egredietur, & pastum inueniet.
εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.
Fur non venit si non vt furetur & mactet, & per-
ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ, καὶ ἀπολέ- 10
dat. Ego veni vt vitam habeant, & abundantius habeant.
σῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν.
Ego sum pastor pulcher. Pastor pulcher animam
ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν 11
suam ponit pro ouibus. Mercenarius autem & non
αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. ὁ μισθωτὸς δὲ καὶ οὐκ 12
existens pastor, cuius non sunt oues propriæ, videt lupum
ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον
venientem, & dimittit oues, & fugit: & lupus ra-
ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος ἁρ-
pit eas, & dispergit oues. At mercenarius
tes. præterit enim figura mundi huius.
μενοι. παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.
Volo autem vos sine solicitudine esse. *Cælebs curat
32 θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. ὁ ἄγαμος μεριμνᾷ
quæ Domini ‖, quomodo ᵖplacebit Domino.
τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ.
ᵘAt vxorem ducens curat quæ mundi, quomodo placeat
33 ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ
vxori. ‖Diuisa sunt: Et mulier & vir-
34 γυναικί. ᶜμεμέρισται· καὶ ἡ γυνὴ καὶ ἡ παρ-
go innupta *curat quæ Domini ‖, vt sit sancta & cor-
θένος. ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία καὶ σώ-
pore & spiritu. ᵖat nupta curat quæ mun-
ματι καὶ πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσ-
di, quomodo placeat viro. ᵘHoc verò ad
35 μου, πῶς ἀρέσει τῷ ἀνδρί. τοῦτο δὲ πρὸς τὸ
vestram ipsorum vtilitatem dico, non vt laqueum vobis inii-
ὑμῶν αὐτῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβά-
ciam sed ad *decens & bene adhærens Domino
λω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπάρεδρον τῷ κυρίῳ
indistractè. Si autem quis ‖indecens esse super vir-
36 ἀπερισπάστως. εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρ-
ginem suam existimat, ᵖsi sit superadulta, & ita ᵘdebet fie-
θένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνε-
ri: quod vult faciat: non peccat: *iungantur matrimonio.
σθαι, ὃ θέλει ποιείτω· οὐχ ἁμαρτάνει· γαμείτωσαν.
Qui verò stetit firmus in corde ‖, non habens necessitatem,
37 ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ, μὴ ἔχων ἀνάγκην,
potestatem autem ᵖhabet circa propriam voluntatem, & hoc iudi-
ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος, καὶ τοῦτο κέκρι-
cauit in corde suo, seruare suam virginem, bene
κεν ἐν τῇ καρδίᾳ αὐτοῦ, τοῦ τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς
facit. *Itaque & matrimonio ‖iungens, pulchrè facit: ᵖat non
38 ποιεῖ. ὥστε καὶ ὁ ἐκγαμίζων, καλῶς ποιεῖ· ὁ δὲ μὴ
matrimonio iungens melius facit. Mulier alligata est legi ᵘin quātum
39 ἐκγαμίζων, κρεῖσσον ποιεῖ. γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον
tempus viuit vir eius: *si verò dormierit vir ‖, liberata
χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ ᶜκοιμηθῇ ὁ ἀνὴρ, ἐλευθέρα
est cui vult ᵖnubere, tantùm in Domino.
ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ.
Beatior autem ᵘest si sic *maneat, secundum ‖meam
40 μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτω μείνῃ, κατὰ τὴν ἐμὴν
sententiam. Puto autem ᵖ& ego Spiritum Dei ᵘhabere.
γνώμην. δοκῶ δὲ κἀγὼ πνεῦμα θεοῦ ἔχειν.

CAP. VIII. η.

De autem idolis *immolatis, scimus quia omnes scientiam
1 Περὶ δὲ τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι πάντες γνῶσιν
habemus. Scientia inflat, at charitas ‖ ædificat.
ἔχομεν· ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ.
Si autem quis ᵘexistimat scire aliquid, nondum quicquam cognouit quem-
2 εἰ δέ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε κα-
admodum oporteat * nosse. Si autem quis diligit Deum,
3 θὼς δεῖ γνῶναι. εἰ δέ τις ἀγαπᾷ τὸν θεὸν,
hic cognitus est ab eo. De ‖esca igitur
4 οὗτος ᵃἔγνωσται ὑπ' αὐτοῦ. περὶ τῆς βρώσεως οὖν
idolothytorum, scimus quia nihil ᵘ idolum in mundo:
τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ,

Marginal notes (left): ᵇBonum est; ‖fornicationē; ᵖsuum; ᵘdebitum; *sui; ᵖNolite fraudare inuicem, nisi fortè; ᵃσχολάζω; ᵘreuertimini,; *alius; ᵘsic per; ᵇμένω; *Quod; ᶜγαμέω; ‖Iis autem qui sunt; ᵖQuod; ᵈχωρίζω; ᵘmanere innuptam,; ᵘsuo reconciliari. Et vir; *dimittat. Nā; ᵉἀφίημι; ‖hic; ᵖvirum.; ᶠἁγιάζω; ᵘper mulierem fidelem,; *per virum fidelem. ‖filij; ᵖessent:; ᵘQuod; *enim; ᵍδουλόω; ‖Vnde; ᵖsaluū facies? aut vnde; ᵘsaluā facies? nisi; *diuisit Dominus:; ‖Deus,; ᵘdoceo.; ʰπεριτέμνω; *Qui enim; ‖est; ᵖqui; ᵘest,

Marginal notes (right): *nolite fieri; ᵖconsilium; ˡἐλεέομαι; ᵖvt sim.; *bonum; ᵃδέομαι; ᵖnoli quærere; ᵇλύω; ‖tamen; ᵘitaque; *breue est; ᵇσυστέλλω; ‖qui habent; ᵖqui flent,; ᵖqui gaudent,; *qui emunt,; ‖qui vtuntur; ᵖvtantur.; *Qui sine vxore est, solicitus est; ‖sunt,; ᵖplaceat Deo.; ᵘQui autē cum vxore est, solicitus est quæ sunt; ‖& diuisus est.; ᶜμερίζω; *cogitat; ‖sunt,; ᵖQuæ autem nupta est, cogitat quæ sunt; ᵘPorrò,; *id quod honestum est, & quod facultatē præbeat sine impedimento Dominum obsecrandi.; ‖turpem se videri; ᵖquod; ᵘoportet; *si nubat. Nam qui statuit; ‖suo firmus,; ᵖhabens suæ voluntatis,; *Igitur & qui; ‖iungit virginē suam, bene; ᵖ& qui non iungit,; ᵘquanto tempore; *quod; ‖eius,; ᶜκοιμάομαι; ᵖnubat:; ᵘerit; *permanserit; ‖meū consiliū; ᵖquòd; ᵖhabeam.; *iis quæ sacrificantur,; ‖verò; ᵘse; *cum scire.; ‖escis autē quę idolis immolantur,; ᵃγινώσκω; ᵘest

& quòd nullus * Deus alter, ‖ si non vnus.
καὶ ὅτι οὐδεὶς θεὸς ἕτερος, εἰ μὴ εἷς.
ᵃ Etenim etsi sunt ᵘ dicti dij, siue in cælo siue
καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε 5
in terra, (‖ sicuti sunt dij multi, & domini multi,)
ἐπὶ τῆς γῆς, (ὥσπερ εἰσὶ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοὶ)
* Sed nobis vnus Deus, Pater, ex quo omnia, &
ἀλλ' ἡμῖν εἷς θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ 6
nos in illum: & vnus Dominus Iesus Christus, per quem
ἡμεῖς εἰς αὐτόν· καὶ εἷς κύριος Ἰησοῦς χριστὸς, δι' οὗ
omnia, & nos per ipsum.
τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ.
Sed non in omnibus ‖ illa scientia. Quidam autem conscientia
ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις. τινὲς δὲ τῇ συνειδήσει 7
idoli vsque nunc, quasi ᵘ idolis immolatum manducant: & conscientia
τοῦ εἰδώλου ἕως ἄρτι ὡς εἰδωλόθυτον ἐσθίουσι, καὶ ἡ συνεί-
ipsorum infirma ᵃ existens, polluitur.
δησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται.
Esca autem nos non commendat Deo. Neque enim si mandu-
βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ θεῷ· οὔτε γὰρ ἐὰν φά- 8
cauerimus, abundabimus: neque si non manducauerimus, deficiemur.
γωμεν, περισσεύομεν· οὔτε ἐὰν μὴ φάγωμεν, ᵇ ὑστερούμεθα.
Videte autem ne fortè * auctoritas vestra hæc offen-
βλέπετε δὲ μή πως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσ- 9
diculum fiat infirmis.
κομμα γένηται τοῖς ἀσθενοῦσιν.
Si enim quis viderit ‖ te habentem scientiam, in idolio
ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ 10
recumbentem, nonne conscientia eius ᵃ infirmi existentis, æ-
κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰ-
dificabitur ad idolothyta manducandum?
κοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν;
Et peribit infirmus frater in tua scientia,
καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, 11
propter quem Christus mortuus est? Sic autem peccan-
δι' ὃν χριστὸς ἀπέθανεν; οὕτω δὲ ἁμαρτάνον- 12
tes in fratres, & percutientes eorum conscientiam
τες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν
infirmam, in Christum peccatis.
ἀσθενοῦσαν, εἰς χριστὸν ἁμαρτάνετε.
Quapropter si esca scandalizat fratrem meum, non
διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ 13
manducabo carnem in æternum, vt ne fratrem meum
μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου
scandalizem.
σκανδαλίσω.

CAP. IX. θ'.

Non sum Apostolus? non sum liber? nonne Iesum
Οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; οὐχὶ Ἰησοῦν 1
Christum Dominum nostrum vidi? Non ‖ opus meum vos estis
χριστὸν τὸν κύριον ἡμῶν ᵃ ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε
in Domino? ‖ Si aliis non sum Apostolus, ᵃ at certè vobis
ἐν κυρίῳ; εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν 2
sum. nam signaculum mei apostolatus vos estis in Domino.
εἰμι· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε ἐν κυρίῳ.
Mea defensio * me inquirentibus, hæc est:
ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν, αὕτη ἐστί· 3
‖ Num non habemus potestatem manducandi & bibendi?
μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; 4
‖ Num non habemus potestatem sororem ᵃ mulierem circundu-
μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιά- 5
cendi, sicut & cæteri Apostoli, & fratres Domini,
γειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου,
& Cephas? Aut solus ego & Barnabas, non habemus
καὶ κηφᾶς; ἢ μόνος ἐγὼ καὶ βαρνάβας οὐκ ἔχομεν 6
potestatem hoc non operandi? Quis militat * propriis
ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; τίς στρατεύεται ἰδίοις 7
stipendiis vnquam? Quis plantat vineam, & de fructu
ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ
eius non edit? Aut quis pascit gregem, & de la-
αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλα-
cte gregis non manducat? ᵃ Num secùdum hominem
κτος τῆς ποίμνης οὐκ ἐσθίει; μὴ κατὰ ἄνθρωπον 8
hæc dico? An nonne & Lex hæc dicit?
ταῦτα λέγω; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει;
In enim lege Moysis scriptum est: Non alligabis os boui
ἐν γὰρ τῷ νόμῳ μωσέως γέγραπται, οὐ φιμώσεις βοῦν 9
trituranti. * Num boum cura est Deo?
ἀλοῶντα. μὴ τῶν βοῶν μέλει τῷ θεῷ;
An propter nos ‖ omnino dicit? ᵃ Propter nos enim scripta sunt, quoniam
ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι 10
in spe debet ᵘ arans arare: & * triturans
ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾷν· καὶ ὁ ἀλοῶν τῆς
fidei ipsius participare, in spe.
ἐλπίδος αὐτοῦ μετέχειν, ἐπ' ἐλπίδι.
Si nos vobis spiritualia seminauimus, magnum ‖ si
εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ 11
nos vestra carnalia metamus?
ἡμεῖς ὑμῶν τὰ σαρκικὰ ᵇ θερίσομεν;

Si alij potestatis vestræ participes sunt, * non potius nos?
εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; 12
Sed non vsi sumus potestate hac: sed omnia su-
ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα στέ-
stinemus, vt ne ‖ remorationem aliquam demus Euangelio Chri-
γομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ χρι-
sti. Nescitis quoniam ᵃ sacra operati, de sacrario
στοῦ. οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι, ἐκ τοῦ ἱεροῦ 13
edunt? altari * assidentes, alta-
ἐσθίουσιν; οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσια-
ri comparticipant? Ita & Dominus or-
στηρίῳ συμμερίζονται; οὕτω καὶ ὁ κύριος διέ- 14
dinauit ‖ Euangelium annuntiantibus, de Euan-
ταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγε-
lio viuere. Ego autem nullo vsus sum horum: non
λίου ζῆν. ἐγὼ δὲ οὐδενὶ ᶜ ἐχρησάμην τούτων. οὐκ 15
scripsi autem hæc, vt ita fiant in me: bonum ᵃ enim mihi
ἔγραψα δὲ ταῦτα, ἵνα οὕτω γένηται ἐν ἐμοί· καλὸν γάρ μοι
magis mori, quàm * gloriationem meam vt quis euacuet.
μᾶλλον ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ.
‖ Si enim euangelizauero, non est mihi gloriatio. necessi-
ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα· ἀνάγ- 16
tas enim mihi incumbit: væ ᵃ autem mihi est, si non euange-
κη γάρ μοι ἐπίκειται· οὐαὶ δέ μοι ἐστὶν, ἐὰν μὴ εὐαγγε-
lizauero. Si enim volens hoc ago, mercedem habeo:
λίζωμαι. εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· 17
si autem inuitus, dispensationem creditam * suscepi.
εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι.
Quæ ergo mihi est merces ‖? Vt ᵃ euangelizans in-
τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀ- 18
sumptuosum ponam Euangelium Christi, ᵃ ad non abu-
δάπανον θήσω τὸ εὐαγγέλιον τοῦ χριστοῦ, εἰς τὸ μὴ κατα-
tendum potestate mea in Euangelio.
χρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ.
Liber ‖ enim existens ex omnibus, omnium meipsum ser-
ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδού- 19
uum feci, vt plures lucrifacerem. Et factus sum
λωσα, ἵνα τοὺς πλείονας κερδήσω. καὶ ἐγενόμην 20
Iudæis tanquam Iudæus, vt Iudæos lucrarer:
τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω·
Iis ᵃ sub legem, quasi sub lege ᵘ, vt eos * sub lege ‖ lucri-
τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερ- 21
faciam. Exlegibus vt exlex, (non existens exlex Deo, sed
δήσω· τοῖς ἀνόμοις ὡς ἄνομος (μὴ ὢν ἄνομος θεῷ, ἀλλ'
inlex Christo, vt lucrifaciam exleges.
ἔννομος χριστῷ,) ἵνα κερδήσω ἀνόμους.
Factus sum infirmis vt infirmus, vt infirmos
ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς 22
ᵘ lucrifaciam. Omnibus factus sum omnia, vt * omnino aliquos
κερδήσω· τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς
seruem. Hoc autem facio propter Euangelium, vt parti-
σώσω. τοῦτο δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοι- 23
ceps eius efficiar. Nescitis quòd ‖ in stadio
νωνὸς αὐτοῦ γένωμαι. οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ 24
currentes, omnes quidem currunt, ᵃ vnus verò accipit bra-
τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βρα-
bium? Sic currite vt comprehendatis.
βεῖον; οὕτω τρέχετε ἵνα ᵈ καταλάβητε.
Omnis autem * certans, omnia continens est: il-
πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται· ἐκεῖ- 25
li quidem igitur vt corruptibilem coronam accipiant: nos autem
νοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν· ἡμεῖς δὲ
incorruptam. Ego igitur sic curro, quasi non in incer-
ἄφθαρτον. ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδή- 26
tum: sic pugno, quasi non aerem verberans:
λως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων·
Sed ‖ obtundo meum corpus, & in seruitutem redigo: ne fortè
ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως 27
ᵃ aliis prædicans, ipse reprobus efficiar.
ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

CAP. X. ι'.

Nolo * autem vos ignorare, fratres, ᵃ quoniam pa-
Οὐ θέλω δὲ ὑμᾶς ᵃ ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέ- 1
tres nostri omnes sub nubem fuerunt: & omnes per
ρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ
mare transierunt: Et omnes in Moy-
τῆς θαλάσσης διῆλθον· καὶ πάντες εἰς τὸν μωυ- 2
sen baptizati sunt in nube & in mari:
σῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ, καὶ ἐν τῇ θαλάσσῃ·
Et omnes eandem escam spiritalem manducauerunt:
καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον· 3
Et omnes eundem potum spiritalem biberunt (bibe-
καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπι- 4
bant * enim de spiritali ‖ sequente petra: at
νον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ
petra ᵃ erat Christus.
πέτρα ἦν ὁ χριστός.

Margin notes (left): * est; ‖ nisi; ᵃ Nam; ᵘ qui dicantur; ‖ siquidem; * tamen; ‖ est; ᵘ idolothytum; ᵃ cùm sit; ᵇ ὑστερέω; * licentia; ‖ eũ qui habet; ᵃ cùm sit infirma; ᵘ ne; ᵃ ὁράω; ‖ Et; ᵃ sed tamen; * apud eos qui me interrogãt; ‖ Nunquid; ᵃ mulierculam; * suis; ᵃ Nunquid; * Nunquid de bobus; ‖ vtique; ᵃ Nam; ᵘ qui arat, * qui triturat, in spe fructus percipiendi; ‖ est; ᵇ θερίζω.

Margin notes (right): * quare; ‖ quod offendiculum; ᵃ qui in sacrario operantur, quæ sunt; ᵘ & qui; * deseruiũt, cũ; ‖ iis qui; ᶜ χράομαι; ᵃ est; * gloriam; ‖ Nam et si; ᵃ enim; * mihi est.; ‖ mea?; ᵘ Euangelium prædicans, sine sumptu; * vt nõ abutar; ‖ Nam cùm essem; ᵃ qui sunt; ᵘ essem (cùm ipse non essem sub lege); * qui erant; ‖ lucrifacerem: iis qui sine lege erant, tanquam sine lege essem (cùm sine lege Dei non essem: sed in lege essem Christi) vt lucrifacerẽ eos qui sine lege erant.; ᵘ lucrifacerem.; * omnes facerẽ saluos. Omnia; ‖ ij qui currunt; ᵃ sed; ᵈ καταλαμβάνω; * qui in agone contendit, ab omnibus se abstinet, &; ‖ castigo; ᵃ cùm aliis prædicauerim,; * enim; ᵃ ἀγνοέω; * autem; ‖ consequente eos; ᵃ autem.

Sed non in pluribus eorum *probauit Deus: Pro-
ἀλλ᾽ οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ θεός· κατε- 5
strati sunt enim in deserto. Hæc autem ‖typi nostri
στρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ. ταῦτα δὲ τύποι ἡμῶν 6
facta sunt, ?ad non esse nos concupiscentes malorum, sicut
ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς
& illi concupierunt. Neque idololatræ efficiamini,
κἀκεῖνοι [b] ἐπεθύμησαν. μηδὲ εἰδωλολάτραι γίνεσθε, 7
sicut quidam *eorum, quemadmodū scriptum est, Sedit populus "ad edendum & bibendum: & surrexerunt ludere. Neque fornicemur,
καθώς τινες αὐτῶν, ὥσπερ γέγραπται, ἐκάθισεν ὁ λαὸς τοῦ φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. μηδὲ πορνεύωμεν, 8
sicut quidam *eorum fornicati sunt: & ceciderunt in vna die
καθώς τινες αὐτῶν [c] ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ
viginti tria millia. Neque tentemus Christum, sicut & quidam eorum tentauerunt, & à serpentibus
εἰκοσιτρεῖς χιλιάδες. μηδὲ ἐκπειράζωμεν τὸν χριστόν, καθὼς καί τινες αὐτῶν [d] ἐπείρασαν, καὶ ὑπὸ τῶν ὄφεων 9
perierunt. Neque ?murmurate, sicut & quidam eorum
ἀπώλοντο. μηδὲ γογγύζετε, καθὼς καί τινες αὐτῶν 10
murmurauerunt, & perierunt ab exterminatore.
ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ.
Hæc autem omnia *typi contingebant illis: scripta sunt autē
ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκείνοις· ἐγράφη δὲ 11
ad ‖admonitionem nostram: in quos, fines seculorum deuenerunt.
πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων [e] κατήντησεν.
Itaque ?existimans stare, videat ne cadat.
ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. 12
Tentatio vos non apprehēdit, "si non humana. fidelis
πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος· πιστὸς 13
autem Deus*, qui non patietur vos tentari, supra‖quod potestis:
δὲ ὁ θεός, ὃς οὐκ ἐάσει ὑμᾶς [f] πειρασθῆναι ὑπὲρ ὃ δύνασθε·
sed faciet cum tentatione etiam prouentum, "ad posse vos sufferre.
ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν.
Quapropter, fratres mei dilecti,
διό, ἀδελφοί μου ἀγαπητοί, 14
fugite ab *idololatria.
φεύγετε ἀπὸ τῆς εἰδωλολατρείας.
Vt prudentibus loquor: iudicate vos‖quod dico.
ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς ὅ φημι. 15
Calix benedictionis cui benedicimus, nonne communicatio sanguinis Christi est?
τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ χριστοῦ ἐστι; 16
*Panem quem frangimus, nonne *communio corporis ‖Christi est?
τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ χριστοῦ ἐστιν;
Quoniā vnus panis, vnum corpus multi sumus: nam omnes? de vno pane participamus.
ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν. οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. 17
Videte Israel secundū carnem: nonne *edentes victimas, participes altaris sunt?
βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχὶ οἱ ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσί; 18
Quid ergo dico? quòd ‖idolum quid est? aut quòd ?idolothytum quid est?
τί οὖν φημι; ὅτι εἴδωλόν τί ἐστιν; ἢ ὅτι εἰδωλόθυτόν τί ἐστιν; 19
Sed quòd quæ immolant Gentes, dæmoniis immolant, & non Deo.
ἀλλ᾽ ὅτι ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει, καὶ οὐ θεῷ. 20
Nolo autem vos *communicatores dæmoniorum fieri.
οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι.
Non potestis calicem Domini bibere, & calicem dæmoniorū: non potestis mensæ Domini participes esse, & mensæ dæmoniorum.
οὐ δύνασθε ποτήριον κυρίου πίνειν καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων. 21
An ?irritamus Dominum? "Num fortiores illo sumus?
ἢ [g] παραζηλοῦμεν τὸν κύριον; μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν; 22
Omnia mihi licent, sed non omnia *conferunt.
πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει· 23
Omnia mihi licent, sed non omnia ædificant.
πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα οἰκοδομεῖ.
Nemo ‖ suum quærat, sed quod alterius quisque.
μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. 24
Omne " in macello [h] venditum, manducate: nihil interrogantes propter conscientiam.
πᾶν τὸ ἐν μακέλλῳ [h] πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν· 25
Nam Domini ? terra, & plenitudo eius.
τοῦ γὰρ κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. 26
Si verò quis vocat vos infidelium, & vultis ire, omne "appositum vobis māducate, nihil interrogantes propter conscientiam.
εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. 27
Si autem quis vobis dixerit: Hoc idolis immolatum est: *ne edite propter illum ‖indicantem, & conscientiam. nam Domini terra, & plenitudo eius.
ἐὰν δέ τις ὑμῖν εἴπῃ, τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε δι᾽ ἐκεῖνον τὸν μηνύσαντα, καὶ τὴν συνείδησιν· τοῦ γὰρ κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. 28
Conscientiam autem dico non tuam, sed alterius.
συνείδησιν δὲ λέγω οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου. 29
Vt quid enim libertas mea iudicatur ab aliena conscientia?
ἱνατί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως;
Si verò ego " gratia participo, quid
εἰ δὲ ἐγὼ χάριτι μετέχω, τί 30

*beneplacitū est Deo: nam καταστρώννυμι καὶ καταστρωννύω ‖in figura ?vt non simus [b] ἐπιθυμέω *ex ipsis: "manducare & bibere: *ex ipsis [c] πορνεύω [d] πειράζω ?murmurauetitis, *in figura ‖correptionem [e] καταντάω ?qui se existimat "nisi *est, ‖id [f] πειράζω *vt possitis sustinere Propter quod charissimi mihi, *idolorum cultura. ‖ipsi "& panis *participatio ‖Domini ?quidem *qui edunt hostias, ‖idolis immolatū sit aliquid, ?idolum sit aliquid? *socios ?æmulamur "Nunquid *expediunt. ‖quod est "quod vænit [h] πωλέω ?est "quod apponitur *nolite manducare ‖qui indicauit, & propter "cum

blasphemor pro eo quod ego gratias ago? Siue ergo māducatis,
31 βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; εἴτε οὖν ἐσθίετε,
siue bibitis, siue *quid facitis, omnia in gloriam Dei facite.
εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε.
Sine offensione estote & Iudæis & Gentibus, & Ecclesiæ Dei:
32 ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ ἐκκλησίᾳ τοῦ θεοῦ·
Sicut & ego ‖omnia omnibus placeo:
33 καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω,
non quærens ?meum ipsius commodum, sed quod "multorum, vt seruentur.
μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι.

*aliud ‖per ?quod mihi vtile est, "multis: vt salui fiant.

CAP. XI. ιά.

Imitatores mei estote, sicut & ego Christi.
1 Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ χριστοῦ.
Laudo autem vos, fratres, quòd *omnia ‖mea meministis: &
2 ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοί, ὅτι πάντα μου [a] μέμνησθε, καὶ
sicut tradidi vobis, ?traditiones retinetis.
καθὼς παρέδωκα ὑμῖν, τὰς παραδόσεις κατέχετε.
Volo autem vos scire, quòd omnis viri caput, Christus est: caput autem mulieris, vir: caput verò Christi, Deus.
3 θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ, ὁ χριστός ἐστι· κεφαλὴ δὲ γυναικός, ὁ ἀνήρ· κεφαλὴ δὲ χριστοῦ, ὁ θεός.
Omnis vir orans aut prophetans *circum caput habens, deturpat suum caput.
4 πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων, καταισχύνει τὴν κεφαλὴν αὐτοῦ.
Omnis autē mulier orans aut prophetans non velato capite, deturpat caput suum. vnū enim est ‖ac idem rasæ.
5 πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς· ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ [b] ἐξυρημένῃ.
Si enim non velatur mulier, & tondeatur. Si verò turpe " mulieri tonderi aut ?radi, veletur.
6 εἰ γὰρ οὐ κατακαλύπτεται γυνή, καὶ κειράσθω. εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω.
Vir quidē enim non debet velare caput*, imago & gloria Dei *existens: mulier autē, gloria viri est.
7 ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστιν.
Non enim est vir ex muliere, sed mulier ex viro.
8 οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ ἐξ ἀνδρός·
Etenim non creatus est vir propter mulierem, sed mulier propter virum.
9 καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα.
*Propter hoc debet mulier potestatem habere supra caput, propter angelos.
10 διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέλους.
Veruntamen neque vir sine muliere, neque mulier sine viro in Domino.
11 πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν κυρίῳ·
‖Sicut enim mulier de viro, ita & vir per mulierem: at omnia? ex Deo.
12 ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρός, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός, τὰ δὲ πάντα ἐκ τοῦ θεοῦ.
*In vobis ipsis iudicate: ‖decorum est mulierem non velatam Deum orare?
13 ἐν ὑμῖν αὐτοῖς κρίνατε· πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ θεῷ προσεύχεσθαι;
Aut nec ipsa natura docet vos, quòd vir quidem si ?comatus sit, ignominia illi est:
14 ἢ οὐδὲ αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι·
Mulier verò si ?comata sit, gloria illi est: quoniam *coma pro velamine ‖data est ei.
15 γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν· ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ.
Si autē quis videtur contentiosus esse, nos talem consuetudinem non habemus, neque ecclesiae Dei.
16 εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ.
Hoc autem ?denuntians non "laudo, quòd non in melius, sed in deterius conuenitis.
17 τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ᾽ εἰς τὸ ἧττον συνέρχεσθε.
Primum quidem enim conuenientibus vobis in *ecclesia, audio scissuras ‖in vobis esse: & "partem aliquam credo.
18 πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι πιστεύω.
*Oportet enim & in vobis hæreses esse: vt ‖ probati, manifesti fiant in vobis.
19 δεῖ γὰρ καὶ ἐν ὑμῖν αἱρέσεις εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν.
Conuenientibus ergo vobis in vnum, ?non est dominicam cœnam manducare.
20 συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτό, οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν·
Vnusquisque enim "propriam cœnam præsumit "in edendo. Et ‖hic quidem esurit: ‖hic autē ebrius est.
21 ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει.
?Non enim domos non habetis ad manducandū & bibēdum? aut ecclesiam Dei contemnitis, & "pudefacitis non habentes? Quid vobis dicam? *Laudabo vos in hoc? non laudo.
22 μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ [c] καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; τί ὑμῖν εἴπω; [d] ἐπαινέσω ὑμᾶς ἐν τούτῳ; οὐκ ἐπαινῶ.
Ego enim accepi à Domino
23 ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου,

*per ‖mei memores estis: [a] μέμνημαι καὶ μέμνημι ?præcepta mea tenetis. *velato capite, ‖acsi decaluetur. Nam [b] ξυρέω ἢ ξυράω "est ?decaluari, velet caput suum "suum: quoniā *est: *Ideo ‖Nam ?autem *Vosipsi ‖decet ?comā nutriat, *capilli ‖dati sunt ?præcipio: "laudans *ecclesiam, ‖inter vos "ex parte *Nam ‖& qui sunt ?iam "suam *ad manducandum. ‖alius ?Nunquid "cōfunditis eos qui non habēt? [c] καταφρονέω *Laudo [d] ἐπαινέω

quod & tradidi vobis, quoniam Dominus Iesus in nocte qua tra-
ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ κύριος ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ πα-
debatur, accepit panem: Et gratias agens fregit, &
ρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ 24
dixit: Accipite, * manducate: hoc meum est corpus quod pro vobis
εἶπε, λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν
‖ frangitur: hoc facite in meam commemorationem.
ᶠκλώμενον. τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.
Similiter & calicem ᵍ post cœnasse, dicens: Hic
ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· τοῦτο 25
calix nouum testamentum est in meo sanguine. hoc
τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι. τοῦτο
facite, quotiescunque bibetis, in meam commemorationem.
ποιεῖτε ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.
Quotiescunq; enim manducabitis panem hunc, & ‖ poculum hoc
ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο 26
bibetis, mortem Domini ᵍ annuntiatis, vsque quo
πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν
veniat. Itaque quicũq; manducauerit panem hunc, vel biberit cali-
ἔλθῃ. ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτή- 27
cem Domini indignè, reus erit corporis & san-
ριον τοῦ κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵ-
guinis Domini. Probet autem homo seipsum,
ματος τοῦ κυρίου. δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, 28
& sic de pane ᵃ edat, & de calice bibat.
καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω·
* Nam edens & bibens indignè, iudicium sibiipsi manducat &
ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ 29
bibit, non diiudicans corpus Domini. ‖ Propter hoc in
πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ κυρίου. διὰ τοῦτο ἐν 30
vobis multi infirmi & imbecilles, & dormiunt multi.
ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί.
ᵍ Si enim nosmetipsos diiudicaremus, non vtique iudicaremur.
εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. 31
* Iudicati autem, à Domino ᵃ erudimur: vt non
κρινόμενοι δέ, ὑπὸ τοῦ κυρίου ᵍ παιδευόμεθα, ἵνα μὴ 32
cum ‖ mundo condamnemur. Itaque, fratres mei,
σὺν τῷ κόσμῳ κατακριθῶμεν. ὥστε, ἀδελφοί μου, 33
ᵍ conuenientes ad manducandum, * alij alios expectate.
συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε.
Si verò quis esurit, ᵃ in domo manducet: vt non in iudicium conue-
εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρῖμα συνέρ- 34
niatis. * At reliqua vt venero, disponam.
χησθε. τὰ δὲ λοιπὰ ὡς ἂν ἔλθω, διατάξομαι.

Margin: εὐχαριστέω * & ‖ tradetur: ᶠ κλάω ᵍ postquam cœnauit, ‖ calicem ᵍ annũtiabitis, donec ᵃ illo * Qui enim manducat & bibit ‖ Ideo inter vos ᵍ Quòd * Dum iudicamur ᵃ corripimur: ᵍ παιδεύω ‖ hoc ᵍ cùm conuenitis * inuicem ᵃ domi * Cętera autem, cùm

CAP. XII. ιβʹ.

De autem spiritualibus, fratres, nolo vos ignorare.
Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν. 1
Scitis quoniam cùm Gẽtes * eratis, ad simulachra muta,
οἴδατε ὅτι ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα, 2
prout ducebamini, ‖ abducti. Ideo notum facio vobis, quòd
ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι. διὸ γνωρίζω ὑμῖν ὅτι 3
nemo in Spiritu Dei loquens, dicit anathema Iesum. Et
οὐδεὶς ἐν πνεύματι θεοῦ λαλῶν, λέγει ἀνάθεμα ἰησοῦν· καὶ
nemo potest dicere, ᵍ Dominum Iesum, si non in Spiritu sancto.
οὐδεὶς δύναται εἰπεῖν, κύριον ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ.
* Discrimina verò gratiarum sunt: at idem ‖ Spiritus.
διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ πνεῦμα· 4
Et ᵍ discrimina ministrationum sunt, & idem ‖ Dominus.
καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτὸς κύριος· 5
Et diuisiones operationum sunt, at idem ᵃ est Deus,
καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτός ἐστι θεὸς ὁ 6
* efficiens omnia in omnibus. Vnicuique autem datur
ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. ἑκάστῳ δὲ δίδοται 7
manifestatio Spiritus ad vtilitatem.
ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον.
‖ Huic quidẽ enim per Spiritum datur sermo sapientiæ: alij autem
ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ 8
sermo scientiæ, secundum eundem Spiritum: Alteri autem fides in
λόγος γνώσεως, κατὰ τὸ αὐτὸ πνεῦμα· ἑτέρῳ δὲ πίστις, ἐν 9
eodem Spiritu: alij autem ᵍ donà sanitatum, in
τῷ αὐτῷ πνεύματι· ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, ἐν τῷ
ᵃ eodem Spiritu: Alij verò operationes virtutum,
αὐτῷ πνεύματι· ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, 10
alij autem prophetia, alij autem discretiones spirituum, * alte-
ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέ-
ri verò genera linguarum, alij autem interpretatio ‖ linguarum.
ρῳ δὲ γένη γλωσσῶν· ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν·
Omnia autem hæc operatur vnus atque idem Spiritus, diui-
πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, ᵃ διαι- 11
dens priuatim singulis prout vult. Sicut enim
ροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. καθάπερ γὰρ 12
corpus vnũ est, & membra habet multa, omnia autem membra
τὸ σῶμα ἕν ἐστι, καὶ μέλη ἔχει πολλά, πάντα δὲ τὰ μέλη τοῦ
corporis ᵃ vnius multa existentia, vnũ ‖ est corpus, ita & Christus:
σώματος τοῦ ἑνὸς πολλὰ ὄντα, ἕν ἐστι σῶμα· οὕτω καὶ ὁ χριστός·
Etenim in vno Spiritu nos omnes in vnũ corpus bapti-
καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτί- 13
zati sumus, siue Iudæi, siue ‖ Græci, siue serui, siue libe-
σθημεν, εἴτε ἰουδαῖοι, εἴτε ἕλληνες, εἴτε δοῦλοι, εἴτε ἐλεύ-
ri: & omnes in * vnum Spiritum potati sumus.
θεροι· καὶ πάντες εἰς ἓν πνεῦμα ἐποτίσθημεν.
‖ Etenim corpus non est vnũ membrum, sed multa.
14 καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά.
Si dixerit pes, Quoniã non sum manus, non sum de cor-
15 ἐὰν εἴπῃ ὁ πούς, ὅτι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώ-
pore: num ᵍ ob hoc non est de corpore?
ματος· οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος;
Et si dixerit auris, Quoniã non sum oculus, non sum
16 καὶ ἐὰν εἴπῃ τὸ οὖς, ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ
de corpore: num * ob hoc non est de corpore?
ἐκ τοῦ σώματος· οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος;
Si totum corpus oculus, vbi auditus? si totum auditus,
17 εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ ἡ ἀκοή; εἰ ὅλον ἀκοή,
vbi odoratus? Nunc autem Deus posuit membra, vnum-
18 ποῦ ἡ ὄσφρησις; νυνὶ δὲ ὁ θεὸς ᵇ ἔθετο τὰ μέλη, ἓν
quodque eorum in corpore, sicut voluit.
ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ᶜ ἠθέλησεν.
ᵃ Si verò essent omnia vnum membrum, vbi corpus?
19 εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα;
Nunc autem multa quidem membra, vnũ autem corpus.
20 νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα.
Non potest autem oculus dicere manui, * Vsum tui non
21 οὐ δύναται δὲ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, χρείαν σου οὐκ
habeo: aut iterum caput pedibus: ‖ Vsum vestri non habeo:
ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί, χρείαν ὑμῶν οὐκ ἔχω·
Sed multò magis ᵍ putata membra corporis
22 ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος
infirmiora esse, necessariora sunt: Et quæ putamus
23 ἀσθενέστερα ὑπάρχειν, ἀναγκαῖά ἐστι· καὶ ἃ δοκοῦμεν
ignobiliora * esse corporis, his honorem abundantiorem ‖ circum-
ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περι-
ponimus: & ᵍ inhonesta nostra honestatem abundantio-
τίθεμεν· καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέ-
rem habent. At honesta * nostra ‖ non vsum habent: sed
24 ραν ἔχει. τὰ δὲ εὐσχήμονα ἡμῶν, οὐ χρείαν ἔχει· ἀλλ'
Deus contemperauit corpus, ᵍ carenti abundantiorem
ὁ θεὸς ᵈ συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν
ᵃ dans honorem: Vt non sit schisma in corpore, sed
25 δοὺς τιμήν, ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ
idipsum pro inuicem solicita sint membra.
αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη·
Et * siue patitur vnum membrum, compatiuntur omnia membra.
26 καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη·
siue gloriatur vnum mẽbrum, congaudent omnia membra.
εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη.
Vos autem estis corpus Christi, & membra ‖ ex parte.
27 ὑμεῖς δέ ἐστε σῶμα χριστοῦ, καὶ μέλη ἐκ μέρους.
Et quosdã quidẽ posuit Deus in ecclesia primùm Aposto-
28 καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστό-
los, secundò Prophetas, tertiò doctores, deinde vir-
λους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυ-
tutes, exinde ᵍ dona curationum, opitulationes, gubernationes,
νάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις,
genera linguarum, ᵃ Num omnes Apostoli? ᵃ num omnes
29 γένη γλωσσῶν· μὴ πάντες ἀπόστολοι; μὴ πάντες
prophetæ? ᵃ num omnes doctores? ᵃ num omnes virtutes?
προφῆται; μὴ πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις;
ᵃ Num omnes ‖ dona habent curationum? ᵃ num omnes
30 μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες
linguis loquuntur? ᵃ num omnes interpretantur?
γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι;
Aemulamini autem charismata meliora. Et adhuc ᵍ secundũ
31 ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα· καὶ ἔτι καθ'
excellentiam viam vobis demonstro.
ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

Margin: * effetis, ‖ euntes. ᵍ Dominus Iesus, nisi * Diuisiones ‖ autem ᵍ diuisiones ᵃ verò * qui operatur ‖ Alij ᵍ gratia ᵃ vno * alij ‖ sermonum. ᵃ διαιρέω * cùm sint ‖ tamen sunt ‖ Gentiles, * vno Spiritu ‖ Nam & ᵍ ideo * ideo ᵇ τίθημι ᶜ ἐθέλω, ἢ ἐθελέω ᵃ Quòd * Opera tua nõ indigeo: ‖ Non estis mihi necessarij. ᵍ quæ videntur * membra ‖ circundamus: ᵍ quæ sunt * autem ‖ nullius egent: ᵍ ei qui deerat, ᵈ συγκεράννυμι ᵃ tribuendo * si quid ‖ de membro. ᵍ gratias ᵃ Nunquid ᵃ Nunquid ‖ gratiam ᵍ excellentiorẽ

CAP. XIII. ιγʹ.

Si linguis hominum loquar & ange-
1 Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέ-
lorum, charitatem autẽ non habeam, factus sum * æs sonans, aut cymba-
λων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβα-
lum tinniens. Et si habuero prophetiam, & nouerim
2 λον ἀλαλάζον. καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ
mysteria omnia & omnem scientiam, & si habuero om-
τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶ-
nem fidem, ita vt montes ᵃ transferre, charitatem autẽ non habuero,
σαν τὴν πίστιν, ὥστε ὄρη ᵃ μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω,
nihil sum. Et si * insumã alẽdo pauperes omnes facultates
3 οὐθέν εἰμι. καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά
meas, & si ‖ tradam corpus meum ᵍ vt ardeam, chari-
μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγά-
tatẽ autẽ non ᵃ habeam, nihil * iuuor. Charitas ‖ longanimis
4 πην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. ἡ ἀγάπη μακροθυ-
est, benigna est: charitas non æmulatur, charitas non agit perperam,
μεῖ, ᵇ χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται,
non inflatur, Non ‖ indecorè agit, non quærit ᵍ sua,
5 οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς,
non irritatur, non cogitat malum,
οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν,

Margin: * velut ᵃ transferam, ᵃ μεθίστημι * distribuero in cibos pauperũ ‖ tradidero ᵍ ita ᵃ habuero, * mihi prodest. ‖ patiens ᵇ χρηστεύω ‖ est ambitiosa, ᵍ quæ sunt

Non gaudet super *iniustitia, congaudet autem veritati:
οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· 6

Omnia suffert, omnia credit, omnia sperat, omnia
πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα 7

sustinet. Charitas nunquam excidit: siue verò prophe-
ὑπομένει. ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. εἴτε δὲ προφη- 8

tiæ *abolebuntur, siue linguæ cessabunt, siue scien-
τεῖαι καταργηθήσονται, εἴτε γλῶσσαι [c]παύσονται, εἴτε γνῶ-

tia [a]abolebitur. Ex parte ‖verò cognoscimus, &
σις [d]καταργηθήσεται. ἐκ μέρους δὲ γινώσκομεν, καὶ 9

ex parte prophetamus. Cùm autem venerit [?] perfectum,
ἐκ μέρους προφητεύομεν· ὅταν δὲ ἔλθῃ τὸ τέλειον, 10

tunc quod [a] ex parte [?] abolebitur. Cùm essem *infans,
τότε τὸ ἐκ μέρους καταργηθήσεται. ὅτε ἤμην νήπιος, 11

vt *infans loquebar, vt *infans sapiebam, vt *infans cogita-
ὡς νήπιος ἐλάλουν, ὡς νήπιος [e]ἐφρόνουν, ὡς νήπιος ἐλογιζό-

bam. Quādo autē factus sum vir, [a] abolevi quæ ‖ infantis.
μην· ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου.

Videmus *enim* nunc per speculum in ænigmate: tunc autem
βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ 12

facie ad faciem. Nunc cognosco ex parte, tunc
πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε

autem cognoscam sicut & cognitus sum.
δὲ [f]ἐπιγνώσομαι καθὼς καὶ [f]ἐπεγνώσθην.

Nunc autē manent fides, spes charitas, tria hæc:
νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· 13

maior autem horum [a] charitas.
μείζων δὲ τούτων ἡ ἀγάπη.

(Marg.: [b] iniquitate. — *euacuabūtur, [c] παύομαι, [a] destruetur. ‖ enim [d] καταργέω [?] quod est — [a] est [?] euacuabitur. *paruulus [e] φρονέω [a] euacuaui ‖ erant paruuli. — [f] ἐπιγινώσκω — ‖ est)

CAP. XIIII. ιδ'.

Sectamini charitatem, æmulamini *verò* [*] spiritalia: magis
Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ πνευματικά, μᾶλλον 1

autem vt prophetetis. *Nam loquens lingua, non homini-
δὲ ἵνα προφητεύητε. ὁ γὰρ λαλῶν γλώσσῃ, οὐκ ἀνθρώ- 2

bus loquitur, sed Deo: nemo enim audit: spiritu autem
ποις λαλεῖ, ἀλλὰ τῷ θεῷ· οὐδεὶς γὰρ ἀκούει, πνεύματι δὲ

loquitur mysteria. ‖At prophetans, hominibus lo-
λαλεῖ μυστήρια· ὁ δὲ προφητεύων, ἀνθρώποις λα- 3

quitur [a]ædificationem, & exhortationem, & consolationem.
λεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν.

*Loquens lingua, seipsum ædificat: ‖at prophetans,
ὁ λαλῶν γλώσσῃ, ἑαυτὸν οἰκοδομεῖ· ὁ δὲ προφητεύων, 4

ecclesiam ædificat. Volo autem omnes vos loqui
ἐκκλησίαν οἰκοδομεῖ. θέλω δὲ πάντας ὑμᾶς λαλεῖν 5

linguis, magis autem [?] vt prophetetis. Maior [a] enim pro-
γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε. μείζων γὰρ ὁ προ-

phetans, quàm loquens linguis: *præter si non interpretetur, vt
φητεύων, ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύῃ, ἵνα

ecclesia ædificationem accipiat. Nunc autem, fratres,
ἡ ἐκκλησία οἰκοδομὴν [a]λάβῃ. νυνὶ δέ, ἀδελφοί, 6

si venero ad vos linguis loquens, quid vobis prodero,
ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω,

‖si non vobis loquar aut in reuelatione, aut in scientia, aut in
ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν

prophetia, aut in doctrina? Tamen [?] inanima vocem
προφητείᾳ, ἢ ἐν διδαχῇ; ὅμως τὰ ἄψυχα φωνὴν 7

dantia, siue tibia, siue cithara, [a]si distinctionem sonituum
διδόντα, εἴτε αὐλός, εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις

non dederint, quomodo scietur *tibia cantatum, aut cítha-
μὴ δῷ, πῶς [b]γνωσθήσεται τὸ αὐλούμενον, ἢ τὸ κιθα-

rizatum? Etenim si incertam vocem tuba det, quis
ριζόμενον; καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς 8

‖apparabitur ad bellum? Ita & vos per
παρασκευάσεται εἰς πόλεμον; οὕτω καὶ ὑμεῖς διὰ τῆς 9

linguam [?]si non bene significantē sermonē dederitis, quomodo [a] cognoscetur
γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ

dictum? eritis enim in aera loquentes.
λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες.

*Tot, si [c] contigerit, genera ‖vocum sunt in [?] mundo: & nihil
τοσαῦτα, εἰ [c]τύχοι, γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν 10

[a] eorum mutum. Si ergo nesciero virtutem
αὐτῶν ἄφωνον. ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς 11

vocis, ero *loquenti barbarus: & ‖loquens in me
φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος, καὶ ὁ λαλῶν, ἐν ἐμοὶ

barbarus. Sic & vos, quoniam æmulatores estis spiri-
βάρβαρος. οὕτω καὶ ὑμεῖς, ἐπεὶ ζηλωταί ἐστε πνευ- 12

tuum: ad ædificationem ecclesiæ quærite vt
μάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε, ἵνα

abundetis. [?] Quapropter loquens lingua, oret
περισσεύητε. διόπερ ὁ λαλῶν γλώσσῃ, προσευχέσθω 13

vt interpretetur. *Si enim orem lingua,
ἵνα διερμηνεύῃ. ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ 14

spiritus meus orat: at mens ‖mea [?] infructuosa est.
πνεῦμά μου προσεύχεται· ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι.

Quid ergo est? Orabo spiritu, orabo
τί οὖν ἐστι; προσεύξομαι τῷ πνεύματι, προσεύξομαι 15

autem & mente: psallam spiritu, psallam verò & mente.
δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ.

Cæterùm si benedixeris spiritu, *implens locum
ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον 16

(Marg.: * Qui enim loquitur — ‖ Nam qui prophetat, — [a] ad — * Qui loquitur ‖ qui autē prophetat, — [?] prophētare. Nam [a] est qui prophetat, quàm qui loquitur * nisi fortè — [a] λαμβάνω — ‖ nisi — [?] quæ sine anima sunt, — [a] nisi * id quod canitur, aut quod citharizatur? [b] γινώσκω — ‖ parabit se — [?] nisi manifestū [a] scietur id quod dicitur? — * Tam multa, vt puta, ‖ linguarum [?] hoc [c] τυγχάνω [a] sine voce est. * ei cui loquor ‖ qui loquitur, mihi — [?] Et ideo qui loquitur * Nam si — ‖ autem [?] sine fructu — * qui supplet)

idiotæ, quomodo dicet, Amen, super *tua gratiarum actione? quādoquidē
τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ ἀμήν, ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ

quid dicis nescit. ‖Tu quidē *enim* bene gratias agis: sed
17 τί λέγεις οὐκ οἶδε. σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς· ἀλλ'

alter non ædificatur. Gratias ago Deo meo,
18 ὁ ἕτερος οὐκ οἰκοδομεῖται. εὐχαριστῶ τῷ θεῷ μου,

[?] omnibus vobis magis linguis loquens. Sed in ec-
19 πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν. ἀλλ' ἐν ἐκ-

clesia volo quinque verba [a] per intelligentiā meam loqui, vt &
κλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ

alios instruam, quàm decē ‖mille sermones in lingua.
ἄλλους [d]κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ.

Fratres, *ne pueri efficiamini sensibus: sed ma-
20 ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κα-

litia ‖pueráscite: at sensibus [?] perfecti estote.
κίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.

In Lege scriptum est, Quoniā in aliis linguis, & in la-
21 ἐν τῷ νόμῳ γέγραπται, ὅτι ἐν ἑτερογλώσσοις καὶ ἐν χείλε-

biis aliis loquar populo huic: & nec sic exau-
σιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακού-

dient me, dicit Dominus. Itaque linguæ in signum
22 σονταί μου, λέγει κύριος. ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν

sunt, non fidelibus, sed infidelibus: *at prophetia
εἰσιν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· ἡ δὲ προφητεία

non infidelibus, sed fidelibus. Si ergo conueniat
23 οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν. ἐὰν οὖν συνέλθῃ

ecclesia vniuersa in ‖idipsum, & omnes linguis loquantur,
ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτό, καὶ πάντες γλώσσαις λαλῶσιν,

intrent autem idiotæ aut infideles, [?] non dicent quòd insanitis?
[e]εἰσέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε;

Si autem omnes prophetent, intret autem quis infidelis vel
24 ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ

idiota, conuincitur ab omnibus, diiudicatur ab omnibus:
ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων,

Et sic occulta cordis eius manifesta fiunt:
25 καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται,

& ita cadens in faciem adorabit Deum, pro-
καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον [f]προσκυνήσει τῷ θεῷ, ἀπαγ-

nuntians quòd Deus verè in vobis sit. Quid ergo est
26 γέλλων ὅτι ὁ θεὸς ὄντως ἐν ὑμῖν ἐστι. τί οὖν ἐστιν,

fratres? Cùm conuenitis, vnusquisque vestrûm psalmum habet, do-
ἀδελφοί; ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, δι-

ctrinam habet, linguam habet, apocalypsin habet, interpretationē
δαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν

habet: omnia ad ædificationem fiant. Siue lingua
27 ἔχει· πάντα πρὸς οἰκοδομὴν γινέσθω. εἴτε γλώσσῃ

quis loquitur, secūdum duos aut [a] plurimum tres, & per partes, & vnus
τις λαλεῖ, κατὰ δύο ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς

interpretetur. Si autem nō fuerit interpres, taceat
28 διερμηνευέτω. ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω

in ecclesia: sibiipsi autem loquatur & Deo.
ἐν ἐκκλησίᾳ· ἑαυτῷ δὲ λαλείτω καὶ τῷ θεῷ.

Prophetæ * duo aut tres ‖loquantur, & alij di-
29 προφῆται δύο ἢ τρεῖς [g]λαλείτωσαν, καὶ οἱ ἄλλοι δια-

iudicent. [?] Si verò alij reuelatum fuerit sedenti,
30 κρινέτωσαν· ἐὰν δὲ ἄλλῳ [h]ἀποκαλυφθῇ καθημένῳ,

prior taceat. Potestis enim per vnum omnes
31 ὁ πρῶτος σιγάτω. δύνασθε γὰρ καθ' ἕνα πάντες

*singuli prophetare: vt omnes discant, & omnes
ἕκαστοι προφητεύειν, ἵνα πάντες μανθάνωσι, καὶ πάντες

‖consolatione afficiantur. Et spiritus prophetarum, pro-
32 παρακαλῶνται. καὶ πνεύματα προφητῶν προ-

phetis [a]subijciuntur. Non enim est dissensionis
33 φήταις ὑποτάσσεται. οὐ γάρ ἐστιν ἀκαταστασίας

Deus, sed pacis: *vt in omnibus ecclesiis
ὁ θεός, ἀλλὰ εἰρήνης, ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν

sanctorum ‖. Mulieres vestræ in ecclesiis ta-
34 ἁγίων. αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγά-

ceant. non enim permittitur eis loqui, sed subdi-
τωσαν· οὐ γὰρ [i]ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσ-

tas esse sicut & Lex dicit. Si autē quid discere
35 σεσθαι, καθὼς καὶ ὁ νόμος λέγει. εἰ δέ τι [k]μαθεῖν

volunt, [?] in domo proprios viros interrogent. Tur-
ἐθέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· αἰ-

pe enim est in ecclesia mulieribus loqui.
σχρὸν γάρ ἐστιν ἐν ἐκκλησίᾳ γυναιξὶν λαλεῖν.

An à vobis verbum Dei *exiit? aut in vos solos
36 ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ θεοῦ ἐξῆλθεν; ἢ εἰς ὑμᾶς μόνους

peruenit? Si quis videtur propheta esse, aut spiritua-
37 [l]κατήντησεν; εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευμα-

lis, cognoscat quæ scribo vobis, quia Domini sunt mandata.
τικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι κυρίου εἰσὶν ἐντολαί.

Si autem quis ignorat, ‖ignotus esto.
38 εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω.

Itaque, fratres *mei*, æmulamini prophetare: & loqui
39 ὥστε, ἀδελφοί μου, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν

linguis [?] ne prohibete.
γλώσσαις μὴ [m]κωλύετε.

Omnia *decenter & secundum ordinem fiant ‖.
40 πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

(Marg.: *tuam benedictionē? quoniā quid dicas, ‖ Nam — [?] quòd omniū vestrûm lingua loquor. [a] sensu meo — ‖ millia verborū [d] κατηχέω * nolite — ‖ paruuli estote: [?] autem — * Prophetiæ autem, — ‖ vnum, [?] nonne [e] εἰσέρχομαι — [f] προσκυνέω — [a] vt multum — * autem ‖ dicant: & cæteri [g] λαλέω [?] Quòd [h] ἀποκαλύπτομαι * per singulos ‖ exhortentur. [a] subiecti sunt. * sicut & ‖ doceo. [i] ἐπιτρέπω [k] μανθάνω [?] domi suos — * processit? [l] καταντάω — ‖ ignorabitur. — [?] nolite prohibere. [m] κωλύω * autē honestē ‖ in vobis.)

CAP. XV. ιε.

Notum facio autē vobis, fratres, Euangelium quod *euange-
1 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοὶ, τὸ εὐαγγέλιον ὃ εὐηγγε-
lizaui vobis, quod & acceptistis, in quo & statis.
λισάμην ὑμῖν, ὃ καὶ [a] παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε·
Per quod & ‖seruamini, quo sermone euangelizarim vobis,
2 δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν,
si tenetis, nisi si non frustrà credidistis.
εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῆ ἐπιστεύσατε.
Tradidi enim vobis in primis quod & accepi:
3 παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ [b] παρέλαβον,
quoniam Christus mortuus est pro peccatis nostris, secundum scriptu-
ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς γρα-
ras. Et quia sepultus est, & quia resurrexit tertia die,
4 φάς· καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ,
secundum scripturas. Et quia visus est Cephæ, *deinde
5 κατὰ τὰς γραφάς. καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς
duodecim.. Deinde visus est ‖supra quingentos
6 δώδεκα· ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις
fratres semel, ex quibus *plures manent vsque adhuc:
ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι,
quidam autem & dormierunt. Deinde visus est Iaco-
7 τινὲς δὲ καὶ [c] ἐκοιμήθησαν. ἔπειτα ὤφθη Ἰακώ-
bo: deinde Apostolis omnibus. Nouissimè autem
8 βῳ, ἔπειτα τοῖς ἀποστόλοις πᾶσιν. ἔσχατον δὲ
omnium, tanquam abortiuo, visus est & mihi.
πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί.
Ego enim sum minimus Apostolorum, qui non sum
9 ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ
*sufficiens vocari Apostolus: quoniam persecutus sum ecclesiam
ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν
Dei. Gratia autem Dei sum ‖quod sum: & gra-
10 τοῦ θεοῦ· χάριτι δὲ θεοῦ εἰμι ὅ εἰμι, καὶ ἡ χά-
tia eius quæ in me non *inanis facta est, sed abundantius il-
ρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐ-
lis omnibus laboraui: non ego autem, sed gratia
τῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ
Dei quæ ‖cum me. Siue *igitur ego, siue illi:
11 θεοῦ ἡ σὺν ἐμοί. εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι,
sic prædicamus, & sic credidistis.
οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε.
Si autem Christus prædicatur quòd à mortuis resurrexit, quomodo
12 εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν [d] ἐγήγερται, πῶς
dicunt quidam in vobis, quoniā resurrectio mortuorum non est?
λέγουσί τινες ἐν ὑμῖν, ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν;
Si autem resurrectio mortuorum non est, neque Christus resurrexit.
13 εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται.
Si autem Christus non resurrexit, inanis *vtique prædicatio
14 εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα
nostra, inanis ‖autem & fides vestra. Inuenimur
15 ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν. εὑρισκόμεθα
autem & nos falsi testes Dei, quoniam *testati sumus
δὲ καὶ ἡμεῖς ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι [e] ἐμαρτυρήσαμεν
de Deo, quòd suscitauerit Christum: quem non suscitauit, si
κατὰ τοῦ θεοῦ ὅτι ἤγειρε τὸν Χριστόν· ὃν οὐκ ἤγειρεν, εἴπερ
vtique mortui non resurgunt. *Si enim mortui non resur-
ἄρα νεκροὶ οὐκ ἐγείρονται. 16 εἰ γὰρ νεκροὶ οὐκ ἐγεί-
gunt, neque Christus resurrexit. *Si verò Christus non
ρονται, οὐδὲ Χριστὸς ἐγήγερται. 17 εἰ δὲ Χριστὸς οὐκ
resurrexit, vana ‖ fides vestra: adhuc *estis in pecca-
ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν, ἔτι ἐστὲ ἐν ταῖς ἁμαρ-
tis vestris. *Nempe & dormientes in Christo,
18 τίαις ὑμῶν. ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ,
perierunt. Si in vita hac sperantes sumus in
19 ἀπώλοντο. εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν
Christo tantum, miserabiliores omnibus hominibus sumus.
Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.
Nunc autem Christus resurrexit à mortuis, primitiæ dor-
20 νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κε-
mientium factus est. Quoniam *enim per hominem
21 κοιμημένων ἐγένετο. ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ
mors, & per hominem resurrectio mortuorum.
θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν.
*Sicut enim in Adam omnes moriuntur, ita
22 ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω
& in Christo omnes viuificabuntur.
καὶ ἐν τῷ Χριστῷ πάντες [f] ζωοποιηθήσονται.
Vnusquisque autē in ‖proprio ordine, primitiæ Christus: de-
23 ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι, ἀπαρχὴ Χριστὸς, ἔ-
inde ij qui *Christi *in aduentu eius. Deinde fi-
24 πειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ· εἶτα τὸ τέ-
nis, cùm tradiderit regnum Deo & Patri: cùm
λος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ πατρί· ὅταν
*aboleuerit omnem principatum & omnem potestatem, & virtutem.
καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.
Oportet ‖enim illum regnare, *vsque quo ponat omnes
Si disciplinam sustinetis, tanquam filiis vobis offert se
εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ 7
Deus. quis enim est filius, quem non corripit pater?
θεός. τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ;
Si autem absque estis disciplina, cuius participes facti sunt omnes,
εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, 8
vtique nothi estis, & non filii. Deinde ipsos quidem carnis
ἄρα νόθοι ἐστὲ, καὶ οὐχ υἱοί. εἶτα τοὺς μὲν τῆς σαρκὸς 9
nostræ patres habuimus castigatores, & reuerebamur: non mul-
ἡμῶν πατέρας εἴχομεν παιδευτὰς, καὶ ἐνετρεπόμεθα· οὐ πολ-
to magis obtemperabimus Patri spirituum, &
λῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων, καὶ
viuemus? Illi quidem enim ad paucos dies, secundum vi-
ζήσομεν; οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δο- 10
sum ipsis, castigabant: hic autem ad commodum, ad reci-
κοῦν αὐτοῖς, ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μετα-
piendum sanctificationem eius. Omnis autem disciplina
λαβεῖν τῆς ἁγιότητος αὐτοῦ. πᾶσα δὲ παιδεία πρὸς 11
quidem præsens non videtur gaudii esse, sed mœroris: postea autem
μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον δὲ
fructum pacificum per eam exercitatis reddet
καρπὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι
iustitiæ. Ideo remissas manus, &
δικαιοσύνης. διὸ τὰς παρειμένας χεῖρας, καὶ τὰ 12
soluta genua erigite: Et gressus
παραλελυμένα γόνατα ἀνορθώσατε· καὶ τροχιὰς 13
rectos facite pedibus vestris, vt non claudum abducatur,
ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ,
sanetur autem magis. Pacem sequimini cum omnibus, &
ἰαθῇ δὲ μᾶλλον. εἰρήνην διώκετε μετὰ πάντων, καὶ 14
sanctimoniam, qua sine nemo videbit Dominum:
τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον·
Contemplantes ne quis deficiat a gratia Dei:
ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ θεοῦ· 15
ne qua radix amaritudinis sursum germinans impediat, & per illam
μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ, καὶ διὰ ταύτης
inquinentur multi. Ne quis fornicator aut prophanus, vt Esau:
μιανθῶσι πολλοί. μή τις πόρνος ἢ βέβηλος, ὡς Ἠσαῦ· 16
qui propter escam vnam vendidit primogenita sua.
ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ.
Scitis enim quoniam & postea volens hæreditare bene-
ἴστε γὰρ ὅτι καὶ μετέπειτα θέλων κληρονομῆσαι τὴν εὐ- 17
dictionem, reprobatus est: pœnitentiæ enim locum non inuenit, quanquam
λογίαν, ἀπεδοκιμάσθη· μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ
cum lachrymis exquirens eam. Non enim acces-
μετὰ δακρύων ἐκζητήσας αὐτήν. οὐ γὰρ προσεληλύ- 18
sistis ad tractabilem montem, & incensum ignem, & turbinem,
θατε ψηλαφωμένῳ ὄρει, καὶ κεκαυμένῳ πυρὶ, καὶ γνόφῳ,
& caliginem, & procellam, Et tubæ sonum, & vocem
καὶ σκότῳ, καὶ θυέλλῃ, καὶ σάλπιγγος ἤχῳ, καὶ φωνῇ 19
verborum, quam audientes deprecati sunt, non proponi
ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐ-
eis verbum. Non portabant enim imperatum, Et si bestia
τοῖς λόγον. οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον, κἂν θηρίον 20
tetigerit montem, lapidabitur.
θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται.
Et, (ita terribile erat apparens, Moyses dixit,
καὶ, οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον, Μωσῆς εἶπεν, 21
Exterritus sum, & tremebundus.) Sed accessistis
ἔκφοβός εἰμι, καὶ ἔντρομος. ἀλλὰ προσεληλύθατε 22
Sion montem, & ciuitatem Dei viuentis, Hierusalem cælestem,
Σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ,
& myriadum angelorum frequentiam, Et ecclesiam primo-
καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ ἐκκλησίᾳ πρωτο- 23
genitorum in cælis conscriptorum, & iudicem Deum om-
τόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ θεῷ πάν-
nium, & spiritus iustorum perfectorum, Et testa-
των, καὶ πνεύμασι δικαίων τετελειωμένων, καὶ δια- 24
menti noui mediatorem Iesum, & sanguini aspersionis præstantius
θήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ κρεῖττον
loquentem ipsa Abel. Videte ne recu-
λαλοῦντι παρὰ τὸν Ἄβελ. βλέπετε μὴ παραιτήση- 25
setis loquentem: si enim illi non effugerunt, illum super terram
σθε τὸν λαλοῦντα· εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον, τὸν ἐπὶ τῆς γῆς
recusantes, negotium agentem: multo magis nos,
παραιτησάμενοι χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς, οἱ
illum de cælis auersati: Cuius vox terram
τὸν ἀπ' οὐρανοῦ ἀποστρεφόμενοι· οὗ ἡ φωνὴ τὴν γῆν 26
mouit tunc, nunc autem denuntiauit, dicens, Adhuc semel ego
ἐσάλευσε τότε, νῦν δὲ ἐπήγγελται, λέγων, ἔτι ἅπαξ ἐγὼ
moueo non solum terram, sed & cælum.
σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν.
Illud autem, Adhuc semel, declarat mobilium translatio-
τὸ δὲ, ἔτι ἅπαξ, δηλοῖ τῶν σαλευομένων τὴν μετάθε- 27
nem, tanquam factorum, vt maneant in non mobilia.
σιν, ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα.
Itaque regnum immobile suscipientes, habeamus
διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν 28
gratiam, per quam seruiamus grate Deo, cum reuerentia &
χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ θεῷ μετὰ αἰδοῦς καὶ
religione. Etenim Deus noster ignis consumens.
εὐλαβείας. καὶ γὰρ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον. 29

CAP. XIII. ιγ´

Charitas fraternitatis maneat.
Η φιλαδελφία μενέτω. 1
Hospitalitatem ne obliuiscimini: per hanc enim la-
τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλα- 2
tuerunt quidam, hospitio excipientes angelos. Mementote vinctorum,
θόν τινες, ξενίσαντες ἀγγέλους. μιμνήσκεσθε τῶν δεσμίων, 3
tanquam simul vincti: malo pressorum, tanquam & ipsi existentes
ὡς συνδεδεμένοι· τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες
in corpore. Honorabile connubium in omnibus, & cubile
ἐν σώματι. τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη 4
immaculatum: fornicatores autem & adulteros iudicabit Deus.
ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός.
Pecunia non appetens mos: contenti præsentibus. ipse
ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς 5
enim dixit, Non te deseram, neque te derelinquam.
γὰρ εἴρηκεν, οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω.
Ita vt confidentes nos dicere, Dominus mihi adiutor &
ὥστε θαρροῦντας ἡμᾶς λέγειν, κύριος ἐμοὶ βοηθὸς, καὶ 6
non timebo quid faciat mihi homo.
οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.
Mementote ducum vestrorum, qui locuti sunt vobis
μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν 7
verbum Dei, quorum intuentes exitum conuer-
τὸν λόγον τοῦ θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀνα-
sationis, imitamini fidem. Iesus Christus heri &
στροφῆς, μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ 8
hodie, ipse & in secula. Doctrinis va-
σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας. διδαχαῖς ποι- 9
riis, & peregrinis ne circumferamini. pulchrum enim, gratia stabi-
κίλαις καὶ ξέναις μὴ περιφέρεσθε. καλὸν γὰρ χάριτι βεβαιοῦ-
liri cor, non escis, in quibus non sunt adiuti
σθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ
ambulantes. Habemus altare, de quo edere
περιπατήσαντες. ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν 10
non habent potestatem tabernaculo seruientes.
οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες.
Quorum enim infertur animalium sanguis pro peccato in
ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ 11
Sancta per pontificem, horum corpora cremantur extra
ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω
castra. Ideo & Iesus, vt sanctificaret per
τῆς παρεμβολῆς. διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ 12
proprium sanguinem populum, extra portam passus est.
ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε.
Igitur exeamus ad eum extra castra,
τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, 13
improperium eius portantes.
τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες.

Marginal notes (left): fidei; acceperunt; impositam; inos ad; atque; sedis sedet; enim eum qui sustinuit; aduersum; enim; ἐκλύομαι; consolationis, loquitur, dicens, noli negligere fatigaris; dum argueris; In disciplina perseuerate; Quod extra disciplinam; ergo adulteri; eruditores, eos: num; ἐντρέπομαι; Et in tępore paucorú dierum, voluntate suá erudiebát nos: id quod vtile est in recipiendo; in præsenti; pacatissimum; Propter quod; παραλύω; ἀνορθόω; claudicás quis erret; Deum; desit gratiæ; primitiua; ἀποδίδωμι; Scitote cupiens; ἀποδοκιμάζω; inquisiisset; ad accensibilem; ψηλαφάω; qui audierunt, excusauerūt se, ne fieret.

Marginal notes (right): quod dicebatur; λιθοβολέω; quod videbatur; ad; multorú millium; primitiuorum qui conscripti sunt; sanguinis aspersionem melius; quam; eum qui; loquebatur; qui loquente nobis, auertimus; repromittit; & mouebo; ἐπαγγέλλομαι; Quod dicit; ea quæ sunt immobilia; placentes; metu. est.; in vobis.; Et nolite obliuisci: placuerunt receptis angelis.; & laborantiū, morantes; thorus immaculatus; Sint mores sine auaritia; ἀνίημι; confidenter dicamus,; φοβέομαι; præpositorum; μιμέομαι; nolite abduci. optimum est; quæ profuerūt ambulātibus in eis.; ὠφελέω; qui deseruiūt.; Propter quod; suum

Non enim habemus hîc manentem ciuitatem, sed futuram
οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν 14
inquirimus. Per ipsum ergo offeramus hostiam lau-
ἐπιζητοῦμεν. δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέ- 15
dis *per omne Deo, id est, fructum labiorum confi-
σεως διαπαντὸς τῷ θεῷ, τοῦτ' ἔστι, καρπὸν χειλέων ὁμολο-
tentium nomini eius. *At beneficentiæ *& commu-
γούντων τῷ ὀνόματι αὐτοῦ. τῆς δὲ εὐποιΐας καὶ κοι- 16
nionis *ne obliuiscimini. talibus enim hostiis *bene placet
νωνίας μὴ ἐπιλανθάνεσθε. τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖ-
*sibi Deus. Obedite *ducibus vestris, & subia-
ται ὁ θεός. πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπεί- 17
cete*: ipsi enim peruigilant pro animabus vestris, quasi ra-
κετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λό-
tionem redditur̃i, vt cum gaudio hoc faciant, & non ge-
γον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στε-
mentes: *inutile enim vobis hoc. Orate pro
νάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. προσεύχεσθε περὶ 18
nobis. confidimus enim quia *pulchram conscientiam habemus, in
ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν
omnibus *pulchre volentes conuersari.
πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι.
Amplius autem deprecor*, hoc facere, *vt cele-
περισσοτέρως δὲ παρακαλῶ, τοῦτο ποιῆσαι, ἵνα τά- 19
rius restituar vobis.
χιον ἀποκατασταθῶ ὑμῖν.

*semper; *autem; *nolite obliuisci. *promeretur *præpositis *ὑπείκω *eis. *non expedit *bonam *bene *vos, *quò *ἀποκαθίσιμι

At Deus pacis, *reducens de mortuis pa-
20 ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποι-
storem ouium magnum, in sanguine testamenti æterni,
μένα τῶν προβάτων τὸν μέγαν, ἐν αἵματι διαθήκης αἰωνίου,
Dominum nostrum Iesum Christum, Aptet vos in omni
21 τὸν κύριον ἡμῶν ἰησοῦν χριστόν, καταρτίσαι ὑμᾶς ἐν παντὶ
opere bono, *ad faciendum voluntatem eius: faciens in vo-
ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ· ποιῶν ἐν ὑ-
bis *beneplacitum coram se, per Iesum Christum, cui* gloria
μῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ ἰησοῦ χριστοῦ, ᾧ ἡ δόξα
in secula seculorum. Amen. Rogo autem
22 εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. παρακαλῶ δὲ
vos fratres, *sufferte verbum solatij: etenim
ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως· καὶ γὰρ
per breuia misi vobis. Cognoscite fratrem
23 διὰ βραχέων ἐπέστειλα ὑμῖν. γινώσκετε τὸν ἀδελφὸν
Timotheum *absolutum, cum quo (si celerius venerit) vi-
τιμόθεον ἀπολελυμένον, μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψο-
debo vos. Salutate omnes *duces vestros, &
24 μαι ὑμᾶς. ἀσπάσασθε πάντας τοὺς ἡγουμένους ὑμῶν, καὶ
omnes sanctos. salutant vos illi de Italia.
πάντας τοὺς ἁγίους. ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς ἰταλίας.
Gratia cum omnibus vobis. Amen.
25 ἡ χάρις μετὰ πάντων ὑμῶν. ἀμήν.

*autem *qui eduxit *vt faciatis *quod placeat *est *vt sufferatis *perpaucis scripsi *nostrum *dimissum, *præpositos *fratres.

Ad Hebræos scripta est ab Italia per Timotheum.
Πρὸς ἑβραίους ἐγράφη ἀπὸ τῆς ἰταλίας διὰ τιμοθέου.

SANCTI IACOBI

Η ΤΟΥ ΑΓΙΟΥ ΙΑΚΩΒΟΥ

EPISTOLA CATHOLICA.

ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΗ.

CAPVT I. ΚΕΦ. Α'.

IACOBVS Dei & Domini* Iesu
ἸΑΚΩΒΟΣ θεοῦ καὶ κυρίου ἰησοῦ 1
Christi seruus, *illis* duodecim tribubus
χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς
quæ in dispersione, *gaudere.
ταῖς ἐν τῇ διασπορᾷ, χαίρειν.
Omne gaudium *ducite, fratres
πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί 2
mei, cum *tentationibus incideritis *va-
μου, ὅταν πειρασμοῖς περιπέσητε ποι-
riis: Scientes quòd probatio vestræ fidei ad-
κίλοις· γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κα- 3
operatur patientiam. *At patientia* opus perfectum ha-
τεργάζεται ὑπομονήν. ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέ- 4
beat, vt sitis perfecti & integri, in nullo deficientes.
τω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι.
Si autè quis vestrum *destituitur sapientia, postulet à *dante
εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος 5
Deo omnibus *simpliciter, & non *improperante, & dabitur ei.
θεοῦ πᾶσιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ.
Postulet autem in fide, nihil *disceptans: nam disce-
αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινό- 6
ptans similis est fluctui maris *vento agitato, & ia-
μενος ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ, καὶ ῥιπιζο-
ctato. Non ergo æstimet homo ille quòd accipiat
μένῳ. μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήψεταί τι 7
aliquid à Domino. Vir duplex animo, inconstans* in
παρὰ τοῦ κυρίου. ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν 8
omnibus viis suis. Glorietur autem frater
πάσαις ταῖς ὁδοῖς αὐτοῦ. καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ 9
humilis in *sublimitate sua, At diues* in humilitate
ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ. ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει 10
sua: quoniam sicut flos fœni transibit. Exortus est enim
αὐτοῦ· ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται. ἀνέτειλε γὰρ ὁ 11
sol cum ardore, & arefecit fœnum, & flos eius
ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ
decidit, & decor vultus eius deperiit: ita
ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο· οὕτω
& diues in itineribus suis marcescet.
καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται.

*nostri *sunt *salutem. *existimate, *in tentationes *varias: *περιπίπτω *autem *indiget *qui dat *affluenter, *improperat: *hæsitans: qui enim hæsitat, *qui a vento mouetur, & circumfertur. *διομαι *λαμβάνομαι *est *exaltatione *autem *παρέρχομαι *ξηραίνω *μαραίνομαι

Beatus vir qui suffert tentationem, quoniam probatus fa-
12 μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενό-
ctus, accipiet coronam vitæ, quam repromisit *Dominus
μενος, λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ κύριος
diligentibus se. Nemo *tentatus, dicat, quoniam
13 τοῖς ἀγαπῶσιν αὐτόν. μηδεὶς πειραζόμενος λεγέτω, ὅτι
à Deo *tentor. nam Deus* intentator est malorum, ten-
ἀπὸ θεοῦ πειράζομαι· ὁ γὰρ θεὸς ἀπείραστός ἐστι κακῶν, πει-
tat autem ipse neminem. Vnusquisque verò tentatur, à *propria
14 ράζει δὲ αὐτὸς οὐδένα. ἕκαστος δὲ πειράζεται, ὑπὸ τῆς ἰδίας
concupiscentia abstractus & illectus. Deinde concu-
15 ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος. εἶτα ἡ ἐπι-
piscentia *concipiens, parit peccatum: at peccatum* con-
θυμία συλλαβοῦσα, τίκτει ἁμαρτίαν· ἡ δὲ ἁμαρτία ἀποτε-
summatum, generat mortem. *Ne errate, fratres
16 λεσθεῖσα ἀποκύει θάνατον. μὴ πλανᾶσθε, ἀδελφοί
mei *dilecti. Omne datum *bonum, & omne donum
17 μου ἀγαπητοί. πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα
perfectum, *supernè est, descendens à Patre luminum,
τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων,
apud quem non est transmutatio, *aut vicissitudinis obumbratio.
παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα.
*Volens genuit nos verbo veritatis, *ad esse
18 βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας, εἰς τὸ εἶναι
nos initium aliquod eius *creaturarum.
ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.
*Itaque, fratres mei *dilecti, sit* omnis homo velox
19 ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἔστω πᾶς ἄνθρωπος ταχὺς
ad audiendum, tardus* ad loquendum, tardus ad iram.
εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν.
Ira enim viri iustitiam Dei non *adoperatur.
20 ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην θεοῦ οὐ κατεργάζεται.
*Ideo abiicientes omnem *sordem, & abundantiam malitiæ,
21 διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν, καὶ περισσείαν κακίας,
in mansuetudine suscipite insitum verbum, *potens sal-
ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον, τὸν δυνάμενον σῶ-
uare animas vestras. Estote autem factores verbi, &
22 σαι τὰς ψυχὰς ὑμῶν. γίνεσθε δὲ ποιηταὶ λόγου, καὶ
non tantum auditores, fallentes vosmetipsos.
μὴ μόνον ἀκροαταί, παραλογιζόμενοι ἑαυτούς.

*cùm fuerit *Deus *cùm tentatur, *tentaturus *enim *sua *eò conceperit, *verò cù fuerit *συλλαμβάνω *Nolite itaque errare, *dilectissimi. *optimum, *desursum *nec *Voluntariè *vt simus *creaturæ. *Scitis, *dilectissimi, *autem *autem sit & *Propter quod *immunditia, *quod potest

Quia si quis auditor verbi est, & non factor, hic *similis est*
ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶ, καὶ οὐ ποιητὴς, οὗτος ἔοικεν 23
viro consideranti vultum natiuitatis suæ in speculo.
ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ·
Considerauit enim *seipsum*, & abiit, & statim
κατενόησε γὰρ ἑαυτὸν, καὶ ἀπελήλυθε, καὶ εὐθέως 24
oblitus est qualis fuerit. *At perspiciens* in legem *per-*
ἐπελάθετο ὁποῖος ἦν. ὁ δὲ παρακύψας εἰς νόμον τέ- 25
fectam illam libertatis, & *permanens*, *hic* non au-
λειον τὸν τῆς ἐλευθερίας, καὶ παραμείνας, οὗτος οὐκ ἀκροα-
ditor obliuiosus factus, sed factor operis, hic bea-
τὴς ἐπιλησμονῆς γενόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μα-
tus in facto suo erit. Si quis *videtur religiosus*
κάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται. εἴ τις δοκεῖ θρῆσκος 26
esse *in vobis*, non refrenans linguam suam, sed seducens
εἶναι ἐν ὑμῖν, μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, ἀλλ᾽ ἀπατῶν
cor suum, huius vana religio.
καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία.
Religio munda, & immaculata apud Deum & Pa-
θρησκεία καθαρὰ, καὶ ἀμίαντος παρὰ τῷ θεῷ καὶ πα- 27
trem, hæc est, Visitare pupillos & viduas in tribulatione
τρὶ αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει
eorum, immaculatum *seipsum* custodire *à mundo*.
αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

cōparabitur
Qui autem perspexerit
perfectæ
permanserit in ea,
autem putat se religiosum
est
&
ab hoc seculo.

CAP. II. β'

Fratres mei, *ne* in personarum acceptione *habete* fidem
Ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν 1
Domini nostri Iesu Christi gloriæ. Si enim introierit
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης. ἐὰν γὰρ εἰσέλθῃ 2
in conuentum vestrum vir aureum habens annulum in veste
εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι
candida, introierit autem & pauper in sordido habitu,
λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι,
Et intendatis in *ferentem vestem splen-*
καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμ- 3
didam, & dixeritis ei, Tu sede hic *pulchrè: &* pau-
πρὰν, καὶ εἴπητε αὐτῷ, σὺ κάθου ὧδε καλῶς· καὶ τῷ πτω-
peri dicatis, Tu sta illic, aut sede *hic* sub scabello
χῷ εἴπητε, σὺ στῆθι ἐκεῖ, ἢ κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν
meo. *Et non* diiudicatis *in vobisipsis*, & facti estis iu-
μου· καὶ οὐ διεκρίθητε ἐν ἑαυτοῖς, καὶ ἐγένεσθε κρι- 4
dices *disceptationum malarum*? Audite, fratres mei *di-*
ταὶ διαλογισμῶν πονηρῶν; ἀκούσατε, ἀδελφοί μου ἀ- 5
lecti, nonne Deus elegit pauperes *mundi*
γαπητοὶ, οὐχ ὁ θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου
diuites in fide, & hæredes regni quod repro-
πλουσίους ἐν πίστει, καὶ κληρονόμους τῆς βασιλείας ἧς ἐπηγ-
misit diligentibus se? Vos autem exhonorastis
γείλατο τοῖς ἀγαπῶσιν αὐτόν; ὑμεῖς δὲ ἠτιμάσατε 6
pauperem. nonne diuites per potentiam opprimunt vos, &
τὸν πτωχόν. οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ
ipsi trahunt vos ad iudicia? Nonne ipsi bla-
αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια; οὐκ αὐτοὶ βλα- 7
sphemant *pulchrum* nomen inuocatum super vos?
σφημοῦσι τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ᾽ ὑμᾶς;
Si tamen legem perficitis regalem, secundum scripturam,
εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν, κατὰ τὴν γραφὴν, 8
Diliges proximum tuum sicut teipsum, *pulchrè* facitis.
ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν, καλῶς ποιεῖτε.
Si autem personam accipitis, peccatum operamini, redar-
εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχό- 9
guti à lege quasi transgressores. Quicunque *enim* totam
μενοι ὑπὸ τοῦ νόμου ὡς παραβάται. ὅστις γὰρ ὅλον 10
legem seruauerit, offendat autem in vno, factus est omnium reus.
τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος.
Ille enim *dicens*, Non mœchaberis, dixit &, Non occides. *si autem*
ὁ γὰρ εἰπὼν, μὴ μοιχεύσῃς, εἶπε καὶ, μὴ φονεύσῃς. εἰ δὲ 11
non mœchaberis, occides autem, factus es transgressor legis.
οὐ μοιχεύσεις, φονεύσεις δὲ, γέγονας παραβάτης νόμου.
Sic loquimini, & sic facite, sicut per legem liber-
οὕτω λαλεῖτε, καὶ οὕτω ποιεῖτε, ὡς διὰ νόμου ἐλευθε- 12
tatis *futuri* iudicari. *Nam* iudicium sine misericordia non
ρίας μέλλοντες κρίνεσθαι. ἡ γὰρ κρίσις ἀνίλεως τῷ μὴ 13
facienti misericordiam: *contra gloriatur* misericordia iudicium.
ποιήσαντι ἔλεος· κατακαυχᾶται ἔλεος κρίσεως.
Quid *illud vtile*, fratres mei, si fidem dicat quis habere, opera
τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα 14
autē non habeat? *non potest* fides saluare eum?
δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν;
Si autem frater aut soror nudi sint, & *desti-*
ἐὰν δὲ ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι, καὶ λειπό- 15
tuti fuerint quotidiano victu: Dicat autem aliquis illis ex
μενοι ὦσι τῆς ἐφημέρου τροφῆς· εἴπῃ δέ τις αὐτοῖς ἐξ 16
vobis, Ite in pace, calefacimini, & saturamini: non
ὑμῶν, ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε, καὶ χορτάζεσθε· μὴ
dederitis autē eis *ea* quæ necessaria corporis, quid *illud vtile*?
δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφελος;
Sic & fides, si non opera habeat, mortua est *secundum seipsam*.
οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ᾽ ἑαυτήν. 17

nolite habere
ex
eum qui indutus est veste præclara,
benè:
κάθημαι
autem
pedum meorum. Nonne
apud vosmetipsos,
cogitationum iniquarum?
dilectissimi,
in hoc mūdo
ἐκλέγω
Deus
bonum
quod est
bene
autem
Qui dixit,
quod
incipientes
enim
illi qui
fecit
superexaltat
autem
proderit,
se
nunquid poterit
indigeant
sunt proderit?
in semetipsa.

Sed dicet quis, Tu fidem habes, & ego opera habeo. ostende mihi
ἀλλ᾽ ἐρεῖ τις, σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω. δεῖξόν μοι 18
fidem tuam *ex operibus tuis*, & ego ostendam tibi ex ope-
τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ δείξω σοι ἐκ τῶν ἔρ-
ribus *meis* fidem meam. Tu credis quoniam Deus vnus est?
γων μου τὴν πίστιν μου. σὺ πιστεύεις ὅτι ὁ θεὸς εἷς ἐστι; 19
pulchrè facis. & dæmones credunt, & contremiscunt.
καλῶς ποιεῖς. καὶ τὰ δαιμόνια πιστεύουσι, καὶ φρίσσουσι.
Vis autem scire, ô homo inanis, quoniam fides sine
θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενὲ, ὅτι ἡ πίστις χωρὶς 20
operibus mortua est? Abraham pater noster nonne ex
τῶν ἔργων νεκρά ἐστιν; Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ 21
operibus iustificatus est, offerens Isaac filium suum super al-
ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυ-
tare? Vides quoniam fides cooperabatur operibus
σιαστήριον; βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις 22
illius, & ex operibus fides consummata est?
αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη;
Et suppleta est scriptura, dicens, Credidit *autem* Abraham
καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα, ἐπίστευσε δὲ Ἀβραὰμ 23
Deo, & reputatum est illi ad iustitiam, & amicus
τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος
Dei appellatus est. Videtis *igitur*, quoniam ex operibus iustificatur
θεοῦ ἐκλήθη. ὁρᾶτε τοίνυν, ὅτι ἐξ ἔργων δικαιοῦται 24
homo, & non ex fide tantùm?
ἄνθρωπος, καὶ οὐκ ἐκ πίστεως μόνον;
Similiter autem & Raab meretrix, nonne ex operibus iustificata est,
ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη, 25
suscipiens nuntios, & alia via eiiciens?
ὑποδεξαμένη τοὺς ἀγγέλους, καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα;
Sicut enim corpus sine spiritu mortuum est, ita
ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω 26
& fides sine operibus mortua est.
καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.

sine operibus.
χωρὶς τῶν ἔργων,
bene
φρίττω
otiosa
πληρόομαι

CAP. III. γ'

Ne multi magistri *fiatis*, fratres mei, scientes
Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες 1
quoniam maius iudicium *capiemus*. *Multa* enim offendimus om-
ὅτι μεῖζον κρίμα ληψόμεθα. πολλὰ γὰρ πταίομεν ἅ- 2
nes, si quis in verbo non offendit, hic perfectus vir, *potens*
παντες. εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνὴρ, δυνατὸς
freno circunducere & totum corpus. *Ecce* equis
χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα. ἴδε τῶν ἵππων 3
frena in ora mittimus ad *obediendum*
τοὺς χαλινοὺς εἰς τὰ στόματα βάλλομεν πρὸς τὸ πείθεσθαι
ipsos nobis, etiam omne corpus illorum circum*agimus*.
αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν.
Ecce & naues *tanta existentes*, & à validis
ἰδοὺ καὶ τὰ πλοῖα τηλικαῦτα ὄντα, καὶ ὑπὸ σκληρῶν 4
ventis *impulsa*, circunferuntur à modico gubernaculo,
ἀνέμων ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου,
vbi impetus dirigentis voluerit. Ita &
ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται. οὕτω καὶ ἡ 5
lingua *paruum* membrum est, & magna *gloriatur*. Ecce *exiguus* ignis
γλῶσσα μικρὸν μέλος ἐστὶ, καὶ μεγαλαυχεῖ. ἰδοὺ ὀλίγον πῦρ
quantam materiam incendit. Et lingua ignis, *mundus*
ἡλίκην ὕλην ἀνάπτει. καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς 6
iniquitatis. *ita* lingua constituitur in membris nostris,
ἀδικίας. οὕτως ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν, ἡ
maculans totum corpus, & *inflammans* rotam na-
σπιλοῦσα ὅλον τὸ σῶμα, καὶ φλογίζουσα τὸν τροχὸν τῆς γε-
tiuitatis, & inflammata à gehenna. Omnis enim natura
νέσεως, καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης. πᾶσα γὰρ φύσις 7
bestiarum*que* & volucrum, serpentium*que* & *marinorum* domatur,
θηρίων τε καὶ πετεινῶν, ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται,
& domita *est* natura humana. *At* lin-
καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ. τὴν δὲ γλῶσ- 8
guam nullus potest hominum domare: *incoercibile* ma-
σαν οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι· ἀκατάσχετον κα-
lum, plena veneno mortifero. In ipsa benedicimus
κὸν, μεστὴ ἰοῦ θανατηφόρου. ἐν αὐτῇ εὐλογοῦμεν τὸν 9
Deum, & Patrem, & in ipsa maledicimus homines
θεὸν, καὶ πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους
illos ad similitudinem Dei *factos*. Ex ipso ore
τοὺς καθ᾽ ὁμοίωσιν θεοῦ γεγονότας. ἐκ τοῦ αὐτοῦ στόματος 10
procedit benedictio, & maledictio. non oportet, fratres mei *dilecti*,
ἐξέρχεται εὐλογία, καὶ κατάρα. οὐ χρὴ, ἀδελφοί μου ἀγαπητοὶ,
hæc ita fieri. Nunquid fons de eodem foramine emanat
ταῦτα οὕτω γίνεσθαι. μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ 11
dulce, & *amarum*? Nunquid potest, fratres mei, ficus
γλυκὺ, καὶ τὸ πικρόν; μὴ δύναται, ἀδελφοί μου, συκῆ 12
oleas facere, aut vitis ficus? sic *nullus fons sal-*
ἐλαίας ποιῆσαι, ἢ ἄμπελος σῦκα; οὕτως οὐδεμία πηγὴ ἁλυ-
sum & dulcem *facere* aquam. *Si* quis sapiens, & *peritus in*
κὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ. εἴ τις σοφὸς, καὶ ἐπιστήμων ἐν 13
vobis, ostendat ex *pulchra* conuersatione *opera sua* in
ὑμῖν, δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν
mansuetudine sapientiæ. *Si autem* zelum amarum habetis, & *contentionem*
πραΰτητι σοφίας. εἰ δὲ ζῆλον πικρὸν ἔχετε, καὶ ἐριθείαν 14

Nolite plures fieri,
sumitis. In multis
est
potest etiam
Si autem
χαλιναγωγέω
consentiendum
ferimus.
cùm magnæ sint,
minentur,
autem
modicū quidē
exaltat.
quantus
quàm magnā syluam
est, vniuersitas
quæ maculat
inflammat
nostræ.
&
cæterorum domantur,
sunt
autem
inquietum
qui
facti sunt.
imaginem &
dulcē & amaram aquam?
vuas
neque salsa
potest facere
disciplinatus inter vos?
bona
operationē suā
δείκνυμι
Quòd
contentiones sunt

in *corde vestro: ne gloriamini & mentimini aduersus
ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ
veritatem. Non est ‖ ista sapientia desursum descendens:
τῆς ἀληθείας. οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, 15
sed terrena, animalis, †dæmoniaca. Vbi enim zelus &
ἀλλ᾽ ἐπίγειος, ψυχική, δαιμονιώδης. ὅπου γὰρ ζῆλος καὶ 16
"irritatio, illic tumultuatio, & omnis praua actio.
ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα.
Illa autē supernè sapientia, primùm quidem pudica est: deinde pacifi-
ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνι- 17
ca, modesta, bene suadibilis, *plena misericordia, ‖ fructibus bonis, non di-
κή, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους, καρπῶν ἀγαθῶν, ἀδιά-
iudicans, † & non simulata. Fructus autem iustitiæ in
κριτος, καὶ ἀνυπόκριτος. καρπὸς δὲ τῆς δικαιοσύνης, ἐν 18
pace seminatur facientibus pacem.
εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

*cordibus vestris: nolite gloriari & mēdaces esse
‖ enim
† diabolica.
" contentio, ibi inconstantia, & omne opus prauum. Quæ desursum est
* bonis consentiens, ‖ &
† sine simulatione.

CAP. IIII. δ´.

Vnde bella & *pugnæ in vobis? ‖ Non hinc, ex
Πόθεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν, ἐκ τῶν 1
" voluptatibus vestris † militantibus in membris vestris?
ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν;
Concupiscitis, & non habetis: occiditis, & zelatis, & non po-
ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε· φονεύετε καὶ ζηλοῦτε, καὶ οὐ δύ- 2
testis adipisci. litigatis & belligeratis: & non habetis, propter
νασθε ᵃἐπιτυχεῖν· μάχεσθε καὶ πολεμεῖτε· καὶ οὐκ ἔχετε, διὰ
"non petere vos. Petitis, & non accipitis, eo quòd ma-
τὸ μὴ αἰτεῖσθαι ὑμᾶς. αἰτεῖτε, καὶ οὐ λαμβάνετε, διότι κα- 3
lè *petitis: vt in ‖ voluptatibus vestris insumatis.
κῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε.
Adulteri & adulteræ, nescitis quia amicitia † mundi
μοιχοὶ καὶ μοιχαλίδες, οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου 4
‖ inimicitia Dei est? Quicunque ergo voluerit amicus esse "mundi,
ἔχθρα τοῦ θεοῦ ἐστιν; ὃς ἂν οὖν βουληθῇ φίλος εἶναι τοῦ κόσμου,
inimicus Dei constituitur. An putatis quia inaniter Scriptura di-
ἐχθρὸς τοῦ θεοῦ καθίσταται. ἢ δοκεῖτε ὅτι κενῶς ἡ γραφὴ λέ- 5
cit: Ad inuidiam concupiscit spiritus qui habitat in ‖ nobis?
γει, πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα ὃ κατῴκησεν ἐν ἡμῖν;
Maiorem autem dat gratiam. † Ideo dicit, " Dominus superbis
μείζονα δὲ δίδωσι χάριν· διὸ λέγει, κύριος ὑπερηφάνοις 6
resistit, humilibus autem dat gratiam. Subditi estote
ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. ὑποτάγητε 7
ergo Deo: resistite * diabolo: & fugiet à vobis.
οὖν τῷ θεῷ· ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ᾽ ὑμῶν.
Appropinquate Deo, & appropinquabit vobis. Emundate manus,
ἐγγίσατε τῷ θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. καθαρίσατε χεῖρας, 8
peccatores: & purificate corda, duplices animo. ‖ Affligimi-
ἁμαρτωλοί, καὶ ἁγνίσατε καρδίας, δίψυχοι. ᵇταλαιπωρή- 9
ni, & lugete, & plorate: risus vester in luctum
σατε καὶ ᶜπενθήσατε, καὶ κλαύσατε· ὁ γέλως ὑμῶν εἰς πένθος
conuertatur, & gaudium in mœrorem. Humiliamini
μεταστραφήτω, καὶ ἡ χαρὰ εἰς κατήφειαν. ταπεινώθητε 10
in conspectu Domini, & exaltabit vos. *Ne contraloquimini
ἐνώπιον τοῦ κυρίου, καὶ ὑψώσει ὑμᾶς. μὴ καταλαλεῖτε 11
alij aliis, fratres ‖. Contraloquens fratri, & iudicans
ἀλλήλων, ἀδελφοί. ὁ καταλαλῶν ἀδελφοῦ, καὶ κρίνων τὸν
fratrem suum, † contraloquitur legi, & iudicat legem. Si autem legem
ἀδελφὸν αὐτοῦ, καταλαλεῖ νόμου, καὶ κρίνει νόμον. εἰ δὲ νόμον
iudicas, non es factor legis, sed iudex. Vnus est " ille legisla-
κρίνεις, οὐκ εἶ ποιητὴς νόμου, ἀλλὰ κριτής. εἷς ἐστιν ὁ νομοθέ- 12
tor, * potens seruare & perdere. Tu autē quis es qui iudicas
της ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι· σὺ δὲ τίς εἶ ὃς κρίνεις
‖ alterum? Age nunc † dicentes, Hodie * & cras ibi-
τὸν ἕτερον; ἄγε νῦν οἱ λέγοντες, σήμερον καὶ αὔριον πορευ- 13
mus in illam ciuitatem, & faciemus ibi " annum vnum,
σώμεθα εἰς τήνδε τὴν πόλιν, καὶ ποιήσωμεν ἐκεῖ ἐνιαυτὸν ἕνα,
& mercabimur, & * lucrabimur: Qui ignoratis
καὶ ἐμπορευσώμεθα, καὶ κερδήσωμεν· οἵτινες οὐκ ἐπίστασθε 14
‖ illud cras. Quæ enim vita vestra? Vapor enim erit, ad
τὸ τῆς αὔριον· ποία γὰρ ἡ ζωὴ ὑμῶν; ἀτμὶς γάρ ἐστιν ἡ πρὸς
modicum apparens, deinceps verò & " euanescens. Pro * di-
ὀλίγον φαινομένη, ἔπειτα δὲ καὶ ἀφανιζομένη. ἀντὶ τοῦ λέ- 15
cere vos, Si Dominus voluerit, & ‖ vixerimus, & faciemus
γειν ὑμᾶς, ἐὰν ὁ κύριος θελήσῃ, καὶ ζήσωμεν, καὶ ποιήσωμεν
hoc aut illud. Nunc autem † gloriamini in superbiis vestris.
τοῦτο ἢ ἐκεῖνο. νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν· 16
Omnis " gloriatio talis maligna est. Scienti igitur bonum
πᾶσα καύχησις τοιαύτη πονηρά ἐστιν. εἰδότι οὖν καλὸν 17
facere, & non facienti, peccatum illi est.
ποιεῖν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν.

*lites
‖ Nonne
" cōcupiscentiis
† quæ militant
ᵃ ἐπιτυγχάνω
" quòd non postulatis.
* petatis:
‖ cōcupiscētiis
† huius
‖ inimica
" seculi huius.
* dicat:
‖ vobis?
† Propter quod
" Deus
* autem
‖ Miseri estote,
ᵇ ταλαιπωρέω
ᶜ πενθέω
‖ Nolite detrahere alterutrū, ‖ mei. Qui detrahit fratri, aut qui iudicat
† detrahit
" enim
* & iudex, qui potest liberare ‖ proximū? Ecce
† qui dicitis,
* aut crastino
" quidem
* lucrum faciemus.
‖ quid erit in crastino.
" exterminabitur,
* eo vt dicatis,
‖ si
† exultatis
" exultatio

CAP. V. ε´.

*Age nunc diuites, plorate, vlulantes in mi-
1 Ἄγε νῦν οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαι-
seriis vestris ‖ superuenturis. Diuitiæ vestræ putrefactæ sunt: &
2 πωρίαις ὑμῶν ταῖς ἐπερχομέναις. ὁ πλοῦτος ὑμῶν σέσηπε, καὶ
vestimēta vestra à tineis comesta facta sunt. Aurum vestrum &
3 τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν. ὁ χρυσὸς ὑμῶν καὶ
argentum æruginauit: & ærugo eorum in testimonium vobis erit,
ὁ ἄργυρος ᵃκατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται,
& manducabit carnes vestras sicut ignis. Thesaurizastis " in nouissi-
καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ. ἐθησαυρίσατε ἐν ἐσχά-
mis diebus. Ecce merces operariorum * metentium
4 ταις ἡμέραις. ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς
regiones vestras, ‖ intercepta à vobis, clamat: & clamores
χώρας ὑμῶν, ὁ ᵇἀπεστερημένος ὑφ᾽ ὑμῶν, κράζει· καὶ αἱ βοαὶ
† metentium in aures Domini sabaoth " introierunt.
τῶν θερισάντων εἰς τὰ ὦτα κυρίου σαβαὼθ ᶜεἰσεληλύθασιν.
Delitiati estis super terram, & * lasciuistis: enutristis
5 ἐτρυφήσατε ἐπὶ τῆς γῆς, καὶ ἐσπαταλήσατε· ἐθρέψατε τὰς
corda vestra vt in die occisionis. ‖ Condemnastis, occi-
6 καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς· κατεδικάσατε, ἐφο-
distis iustum: † non resistit vobis. Patientes esto-
7 νεύσατε τὸν δίκαιον· οὐκ ἀντιτάσσεται ὑμῖν. ᵈμακροθυμή-
te igitur, fratres, vsque ad aduentum Domini. Ecce, agricola
σατε οὖν, ἀδελφοί, ἕως τῆς παρουσίας τοῦ κυρίου. ἰδοὺ ὁ γεωργὸς
expectat pretiosum fructum terræ: patienter ferens in eum, donec
ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ᾽ αὐτῷ, ἕως
accipiat pluuiam * matutinam & serotinam. Patientes estote
8 ἂν λάβῃ ὑετὸν πρώϊμον καὶ ὄψιμον. μακροθυμήσατε
& vos: ‖ confirmate corda vestra, quoniam aduentus Do-
καὶ ὑμεῖς, στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ κυ-
mini † appropinquauit. Ne ingemiscite aduersus alij alios, fratres, vt
9 ρίου ἤγγικε. μὴ στενάζετε κατ᾽ ἀλλήλων, ἀδελφοί, ἵνα
non iudicemini. Ecce, iudex ante " fores stetit. Exem-
10 μὴ κριθῆτε. ἰδοὺ κριτὴς πρὸ τῶν θυρῶν ἕστηκεν. ὑπόδει-
plum accipite fratres mei, * malorum perpessionis, & patientiæ,
γμα λάβετε ἀδελφοί μου, τῆς κακοπαθείας, καὶ τῆς μακροθυμίας,
Prophetas, qui locuti sunt ‖ nomine Domini. Ecce bea-
11 τοὺς προφήτας, οἳ ἐλάλησαν τῷ ὀνόματι κυρίου. ἰδοὺ μα-
tificamus † tolerantes. Tolerantiam Iob audistis:
καρίζομεν τοὺς ὑπομένοντας. τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε,
& finem Domini vidistis, quoniam valde misericors est " &
καὶ τὸ τέλος κυρίου εἴδετε, ὅτι πολύσπλαγχνός ἐστι καὶ
miserator. Ante omnia autem, fratres mei, *ne iurate,
12 οἰκτίρμων. πρὸ πάντων δέ, ἀδελφοί μου, μὴ ᵉὀμνύετε,
neque ‖ cælum, neque ‖ terram, neque aliud quodcunque iuramētum. Sit
μήτε τὸν οὐρανόν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω
autē † vestrū illud Etiā, etiam: & illud nō, non: vt non " in hypocrisin decidatis.
δὲ ὑμῶν τὸ ναί, ναί, καὶ τὸ οὔ, οὔ· ἵνα μὴ * εἰς ὑπόκρισιν πέσητε.
Tristatur aliquis * in vobis? orer. Aequo animo est quis? psal-
13 κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω. εὐθυμεῖ τις; ψαλ-
lat. Infirmatur quis in vobis? † aduocet presby-
14 λέτω. ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυ-
teros ecclesiæ: & orent super eum, vngen-
τέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ᾽ αὐτόν, ἀλείψαν-
tes eum oleo in nomine Domini. Et oratio fi-
15 τες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ κυρίου. καὶ ἡ εὐχὴ τῆς πί-
dei * seruabit laborantem, & eriget eum Dominus: & si ‖ pecca-
στεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ κύριος· κἂν ἁμαρ-
ta fuerit perpetratus, remittentur ei. Confitemini
16 τίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ. ἐξομολογεῖσθε
† alij aliis offensiones: & orate pro " alij aliis,
ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων,
vt sanemini. multum " valet deprecatio iusti * efficax.
ὅπως ἰαθῆτε· πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη.
Elias homo erat ‖ similiter passibilis nobis: & oratione ora-
17 ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ προσ-
uit † ad non pluendum: & non pluit super terram annos tres
ηύξατο τοῦ μὴ ᶠβρέξαι, καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς
& menses sex. Et rursum orauit: & cælum pluuiam
18 καὶ μῆνας ἕξ. καὶ πάλιν ᵍπροσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν
dedit, & terra * germinauit fructum suum. Fratres ‖, si quis
19 ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς. ἀδελφοί, ἐάν τις
† in vobis errauerit à veritate, & conuerterit quis eum:
ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτόν,
" Sciat quòd ille conuertens peccatorem ab errore viæ suæ,
20 Γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ,
* seruabit animam à morte, & operiet multitudinem peccatorum.
σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

* Agit
‖ quæ aduenient vobis.
ᵃ κατιόομαι
" vobis iram
* qui messuerūt
‖ quæ fraudata est
ᵇ ἀποστερέω
† eorum
" introiuit.
Epulari
ᶜ εἰσέρχομαι
* in luxuriis
‖ Adduxistis &
† &
ᵈ μακροθυμέω
* temporaneum & serotinum.
‖ &
† appropinquabit. Nolite ingemiscere in alterutrum,
" ianuam assistit.
* laboris
‖ in
† eos qui sustinuerunt. Sufferentiam
" Dominus
* Nolite iurare
ᵉ ὀμνύω
‖ per
† sermo vester, Est, est,
" sub iudicio
* ὑπόκρισιν
† vestrum?
† inducat
* saluabit infirmum: & alleuabit
‖ in peccatis sit
† ergo alterutrum peccata vestra:
" inuicem, vt saluemini.
" enim
* assidua.
‖ similis
† vt nō plueret
ᶠ βρέχω
ᵍ προσεύχομαι
* dedit
‖ mei,
† ex
" Scire debet quoniā qui cōuerti fecerit
* saluabit eius

Finis sancti Iacobi catholicæ Epistolæ.
Τέλος τῆς τοῦ ἁγίου ἰακώβου καθολικῆς ἐπιστολῆς.

SANCTI PETRI

Η ΤΟΥ ΑΓΙΟΥ ΠΕΤΡΟΥ

CATHOLICA PRIOR EPISTOLA.

ΚΑΘΟΛΙΚΗ ΠΡΩΤΗ ΕΠΙΣΤΟΛΗ.

CAPVT PRIMVM. κεφάλ. α΄.

PETRVS Apoſtolus Ieſu Chriſti,
1 ΠΕΤΡΟΣ ἀπόστολος Ἰησοῦ Χριστοῦ,
electis aduenis diſperſionis
ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς
Ponti, Galatiæ, Cappadociæ,
Πόντου, Γαλατίας, Καππαδοκίας,
Aſiæ, & Bithyniæ, Secundum
2 Ἀσίας, καὶ Βιθυνίας, κατὰ
*prænotionem Dei Patris, in ‖ſanctificatione
πρόγνωσιν θεοῦ πατρὸς ἐν ἁγιασμῷ
Spiritus, in obedientiam & aſperſionem ſanguinis Ieſu Chri-
πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χρι-
ſti. Gratia vobis & pax multiplicetur.
στοῦ· χάρις ὑμῖν καὶ εἰρήνη [a] πληθυνθείη.
Benedictus Deus & Pater Domini noſtri Ieſu Chri-
3 εὐλογητὸς ὁ θεὸς, καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χρι-
ſti, qui ſecundum *multam ſuam miſericordiam ‖regenerans nos in
στοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς
ſpem viuam, per reſurrectionem Ieſu Chriſti ex mortuis,
ἐλπίδα ζῶσαν δι᾽ ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν,
In hæreditatem incorruptibilem, & incontaminatam, & immarceſcibi-
4 εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον, καὶ ἀμάραν-
lem, conſeruatam in cælis in *vos, In vir-
τον, [b] τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς,
5 τοὺς ἐν δυ-
tute Dei ‖cuſtoditos, per fidem, in ſalutem para-
νάμει θεοῦ [c] φρουρουμένους διὰ πίστεως, εἰς σωτηρίαν ἑτοί-
tam reuelari in tempore nouiſſimo. In quo *exul-
μην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ·
6 ἐν ᾧ ἀγαλ-
tatis modicum nunc, (ſi ‖opus eſt) triſtati in variis
λιᾶσθε ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ, [d] λυπηθέντες ἐν ποικίλοις
tentationibus: Vt probatio veſtræ fidei mul-
πειρασμοῖς·
7 ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πο-
to pretioſior* auro ‖illo perdito, per ignem verò *ex-
λὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δο-
plorato, inueniatur in laudem & honorem & gloriam, in
κιμαζομένου, [e] εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν, ἐν
reuelatione Ieſu Chriſti: Quē ‖non videntes dili-
ἀποκαλύψει Ἰησοῦ Χριστοῦ·
8 ὃν οὐκ εἰδότες ἀγα-
gitis: in quem nunc non videntes*, credentes autem, exultatis
πᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ, ἀγαλλιᾶσθε
lætitia inenarrabili & glorificata, Reportantes
χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ,
9 κομιζόμενοι
finem fidei veſtræ, ſalutem animarum.
τὸ τέλος τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν.
De qua ſalute exquiſierunt atque ſcrutati ſunt Pro-
10 περὶ ἧς σωτηρίας [f] ἐξεζήτησαν καὶ [g] ἐξηρεύνησαν προ-
phetæ, qui de *illa in vos gratia ‖prophetantes,
φῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες·
Scrutantes in quod vel quale tempus ſignificaret in eis
11 ἐρευνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν [h] ἐδήλου τὸ ἐν αὐτοῖς
Spiritus Chriſti, *præteſtatus illas in Chriſtum paſſio-
πνεῦμα Χριστοῦ, προμαρτυρόμενον τὰ εἰς Χριστὸν παθή-
nes, & ‖poſt hac glorias: Quibus reuelatum eſt
ματα, καὶ τὰς μετὰ ταῦτα δόξας·
12 οἷς ἀπεκαλύφθη
quia non ſibimetipſis, vobis autem miniſtrabant ea, quæ nunc nuntiata ſunt
ὅτι οὐχ ἑαυτοῖς, ὑμῖν δὲ [k] διηκόνουν αὐτὰ, ἃ νῦν [l] ἀνηγγέλη
vobis per eos *euangelizantes vobis in Spiritu ſancto
ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς ἐν πνεύματι ἁγίῳ
miſſo de cælo, in ‖qua deſiderant angeli pro-
ἀποσταλέντι ἀπ᾽ οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι πα-
ſpicere. *Ideo ſuccincti lumbos men-
ρακύψαι.
13 διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς δια-
tis veſtræ, ſobrij, perfecte ſperate in eam ‖latam
νοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομέ-
vobis gratiam, in reuelatione Ieſu Chriſti,
νην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ,
Quaſi filij obedientiæ, non configurati illis *prius
14 ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότε-
in ignorantia veſtra cupiditatibus: Sed ſecundum
ρον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις·
15 ἀλλὰ κατὰ
eum *vocantem vos, Sanctum, & ipſi ſancti in omni conuer-
τὸν καλέσαντα ὑμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀνα-
ſatione ‖fiatis: Quoniam ſcriptum eſt, Sancti eritis,
στροφῇ γενήθητε·
16 διότι γέγραπται, ἅγιοι γένεσθε,
quoniam ego ſanctus ſum. Et ſi Patrem inuocatis eum
ὅτι ἐγὼ ἅγιός εἰμι.
17 καὶ εἰ πατέρα ἐπικαλεῖσθε τὸν
*ſine acceptione perſonarum iudicantem ſecundum vniuſcuiuſque opus, in timo-
ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φό-
re ‖commorationis veſtræ tempus conuerſamini:
βῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε·
Scientes quòd nō corruptibilibus argento vel auro redempti
18 εἰδότες ὅτι οὐ φθαρτοῖς ἀργυρίῳ ἢ χρυσίῳ [a] ἐλυτρώ-
eſtis de vana veſtra conuerſatione ‖paterna traditione accepta:
θητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου,
Sed pretioſo ſanguine quaſi agni immaculati & incōtaminati
19 ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου,
Chriſti, Præcogniti quidem ante conſtitutionem
20 Χριστοῦ, προεγνωσμένου μὲν πρὸ καταβολῆς
mundi, manifeſtati autem in nouiſſimis temporibus propter vos:
κόσμου, φανερωθέντος δὲ ἐπ᾽ ἐσχάτων τῶν χρόνων δι᾽ ὑμᾶς,
*Per ipſum credentes in *Deum illum ſuſcitantem eum à
21 τοὺς δι᾽ αὐτοῦ πιστεύοντας εἰς θεὸν τὸν ἐγείραντα αὐτὸν ἐκ
mortuis, & gloriam ‖ei dantem, vt fidem veſtram &
νεκρῶν, καὶ δόξαν αὐτῷ δόντα, ὥστε τὴν πίστιν ὑμῶν καὶ
ſpem eſſe in Deum. Animas veſtras caſtificantes
22 ἐλπίδα εἶναι εἰς θεόν. τὰς ψυχὰς ὑμῶν ἡγνικότες
in obedientia *veritatis per Spiritum in fraternum
ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ πνεύματος εἰς φιλαδελ-
amorem non ſimulatum, ex puro corde ‖alij alios diligi-
φίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς καρδίας ἀλλήλους ἀγαπή-
te *impenſè, Renati non ex ſemine corrupti-
σατε ἐκτενῶς,
23 ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρ-
bili, ſed incorruptibili, per verbum Dei viui & permanentis
τῆς, ἀλλὰ ἀφθάρτου, διὰ λόγου θεοῦ ζῶντος καὶ μένοντος
in æternum. Quia omnis caro vt fœnum, & om-
24 εἰς τὸν αἰῶνα. διότι πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶ-
nis gloria ‖hominis vt flos fœni. exaruit fœnum,
σα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. [b] ἐξηράνθη ὁ χόρτος,
& flos eius decidit: At verbum *Domini
25 καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε· τὸ δὲ ῥῆμα κυρίου
manet in æternum. Hoc autem eſt verbum ‖ euangeli-
μένει εἰς τὸν αἰῶνα. τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελι-
zatum in *vos.
σθὲν εἰς ὑμᾶς.

CAP. II. β.

Deponentes igitur omnem malitiam, & omnem dolum, &
1 Ἀποθέμενοι οὖν πᾶσαν κακίαν, καὶ πάντα δόλον, καὶ
ſimulationes, & inuidias, & omnes *oblocutiones,
ὑποκρίσεις, καὶ φθόνους, καὶ πάσας καταλαλιάς,
Sicut modò geniti infantes, *rationale, ſine dolo lac con-
2 ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν, ἄδολον γάλα [a] ἐπι-
cupiſcite: vt in eo ‖augeamini. Siquidem guſtaſtis
3 ποθήσατε, ἵνα ἐν αὐτῷ [b] αὐξηθῆτε· εἴπερ ἐγεύσασθε
quoniā *benignus ille Dominus. Ad quem accedentes,
4 ὅτι χρηστὸς ὁ κύριος· πρὸς ὃν προσερχόμενοι,
lapidem viuum, ab hominibus quidem reprobatum,
λίθον ζῶντα, ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον,
à autem Deo electum, *honorabile: Et ipſi tanquam lapides
5 παρὰ δὲ θεῷ ἐκλεκτὸν, ἔντιμον· καὶ αὐτοὶ ὡς λίθοι
viui ſuperædificamini domus ſpiritualis, ſacerdotium ſanctum,
ζῶντες οἰκοδομεῖσθε οἶκος πνευματικὸς, ἱεράτευμα ἅγιον,
offerre hoſtias ſpiritales, bene acceptabiles Deo
ἀνενέγκαι θυσίας πνευματικὰς, εὐπροσδέκτους τῷ θεῷ
per Ieſum Chriſtum. Propter quod continetur in Scriptura: Ecce
6 διὰ Ἰησοῦ Χριστοῦ. διότι περιέχει ἐν τῇ γραφῇ, ἰδοὺ
pono in Sion lapidem ſummum angularem, electum, pretioſum. &
τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον· καὶ
‖credens in eo, non pudefiet. Vobis igitur
7 ὁ πιστεύων ἐπ᾽ αὐτῷ, οὐ μὴ [c] καταισχυνθῇ. ὑμῖν οὖν ἡ
honor credentibus. non credētibus autem, lapis quem reprobauerunt
τιμὴ τοῖς πιστεύουσιν· ἀπειθοῦσι δὲ, λίθον ὃν ἀπεδοκίμασαν
ædificantes, hic factus eſt in caput anguli:
οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας,
Et lapis offenſionis, & petra ſcandali, * qui
8 καὶ λίθος προσκόμματος, καὶ πέτρα σκανδάλου· οἳ
offendunt verbo, *inperſuaſi, in quod & poſiti ſunt.
προσκόπτουσι τῷ λόγῳ, ἀπειθοῦντες, εἰς ὃ καὶ ἐτέθησαν·
Vos autem genus electum, regale ſacerdotium, gens
9 ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος
ſancta, populus ‖in vendicationem, vt virtutes annuntietis
ἅγιον, λαὸς εἰς περιποίησιν, ὅπως τὰς ἀρετὰς [d] ἐξαγγείλητε

* præſcientiam ‖ ſanctificationē
*πληθύνω
* magnam ‖ regenerauit
* vobis, Qui
[b] τηρέω
* cuſtodimini
[c] φρουρέω
* exultabitis
‖ oportet contriſtari
[d] λυπέω
* ſit ? quod ‖ probatur
[e] εὑρίσκω
‖ cùm videritis
* quoque creditis
[f] ἐκζητέω
* futura in vobis
‖ prophetauerunt,
[g] ἐξερευνάω
[h] δηλόω
* prænuntians eas quæ in Chriſto ſunt
‖ poſteriores
[k] διακονέω
[l] ἀναγγέλλω
* qui euangelizauerunt
‖ quem
* Propter quod
‖ quæ offertur
* prioribus ignorātiæ veſtræ deſideriis:
* qui vocauit
‖ ſitis:
* qui iudicat
‖ incolatus veſtri tempore
[a] λυτρόω
‖ paternæ traditionis:
* Qui fideles eſtis
* Deo qui ſuſcitauit
‖ dedit ei, vt fides veſtra & ſpes eſſet in Deo.
* charitatis, in fraternitatis amore ſimplici,
‖ inuicem
* attentiùs:
‖ eius tanquam
[b] ξηραίνω
* autem
‖ quod eſt
* vobis.
* detractiones,
* rationabiles, &
[a] ἐπιποθέω
‖ creſcatis in ſalutē. Si tamen
[b] αὐξάνω
* dulcis eſt
* & honorificatum:
‖ qui crediderit in eum, non confundetur.
[c] καταισχύνομαι
* his
* nec credunt
‖ acquiſitionis,

eius de tenebris vos *vocantis* in admirabile suum lumen.
τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς·
Qui aliquādo non populus, nunc autē populus Dei. qui non consecuti misericordiā, nunc autem misericordiā consecuti.
10 οἵ ποτε οὐ λαὸς, νῦν δὲ λαὸς θεοῦ· οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες.
Dilecti, obsecro tanquam aduenas & peregrinos, abstinere carnalibus desideriis, quæ militant aduersus animam:
11 ἀγαπητοὶ, παρακαλῶ ὡς παροίκους, καὶ παρεπιδήμους, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς,
Conuersationem vestram habentes *honestam in Gentibus*
12 τὴν ἀναστροφὴν ὑμῶν ἔχοντες καλὴν ἐν τοῖς ἔθνεσιν,
vt in *quo obloquuntur vobis vt* malefactoribus, ex bonis operibus *inspicientes,* glorificent Deum in die visitationis.
ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες, δοξάσωσι τὸν θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς.
Subiecti estote igitur omni humanæ creaturæ propter *Dominum:* siue regi, quasi *superhabenti:*
13 ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει, διὰ τὸν κύριον· εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι.
Siue *præsidibus,* *vt per eum* missis, ad vindictam *quidem* malefactorum, laudem verò *beneagentium:*
14 εἴτε ἡγεμόσιν, ὡς δι᾽ αὐτοῦ πεμπομένοις, εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν·
Quia sic est voluntas Dei, bene facientes *capistrare* imprudentium hominum ignorantiam:
15 ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν·
Quasi liberi, & non quasi velamen habentes malitiæ libertatem, sed sicut serui Dei.
16 ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλ᾽ ὡς δοῦλοι τοῦ θεοῦ.
Omnes honorate. Fraternitatem diligite. Deum timete. Regem honorificate.
17 πάντας τιμήσατε· τὴν ἀδελφότητα ἀγαπᾶτε. τὸν θεὸν φοβεῖσθε· τὸν βασιλέα τιμᾶτε.
Serui, subditi in omni timore dominis, non tantùm bonis & *æquis,* sed etiam *prauis.*
18 οἱ οἰκέται, ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς.
Hoc enim gratia, si propter conscientiam Dei *suffert* quis tristitias, patiens iniustè.
19 τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως.
Quæ enim *laus,* si peccantes, & colaphizati suffertis? Sed si bene facientes, *& patientes* sustinetis, *hoc* gratia apud Deum.
20 ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες, καὶ κολαφιζόμενοι ὑπομενεῖτε; ἀλλ᾽ εἰ ἀγαθοποιοῦντες, καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ θεῷ.
In hoc enim vocati estis: quia & Christus passus est pro nobis, vobis relinquens exemplum, vt sequamini vestigia eius:
21 εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ·
Qui peccatum non fecit, nec inuentus est dolus in ore eius.
22 ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ·
Qui *conuitiis affectus non contra conuitiabatur: patiens, non minabatur:* tradebat autem iudicanti *iusté.*
23 ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως.
Qui peccata nostra ipse pertulit in corpore suo super lignum, vt peccatis mortui, iustitiæ viuamus. cuius *vibice eius* sanati estis.
24 ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον· ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν· οὗ τῷ μώλωπι αὐτοῦ ἰάθητε·
Eratis enim sicut oues errantes: sed conuersi estis nunc ad pastorem & episcopum animarum nostrarum.
25 ἦτε γὰρ ὡς πρόβατα πλανώμενα· ἀλλ᾽ ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν.

Margin: qui vocauit — Dei, — Charissimi, — ἐλεέω — vos — vos à — inter Gentes bonam — eo quod detractant de vobis tanquam de — vos considerantes, — Deum: — præcellenti: — ducibus, tanquam ab eo — bonorum: — vt — obmutescere faciatis — φιμόω — estote — modestis, — discolis. Hæc est — sustinet — gloria, — patienter — hæc est — cùm malediceretur, nō maledicebat: cùm pateretur, non cōminabatur: — se iniustè. — liuore — πλανάω — vestrarum

CAP. III. γ΄.

κύκλῳ τοῦ θρόνου, καὶ τῶν ζώων, καὶ τῶν πρεσβυτέρων· καὶ ἦν ὁ ἀρι-
merus eorum, *myriades myriadum, & chiliades chiliadum*:
θμὸς αὐτῶν, μυριάδες μυριάδων, καὶ χιλιάδες χιλιάδων,
Dicentes voce magna, Dignus est Agnus *occi-*
λέγοντες φωνῇ μεγάλῃ, ἄξιόν ἐστι τὸ ἀρνίον τὸ ἐσφαγμέ- 12
sus accipere virtutem, & *diuitias*, & sapientiam, & fortitudinē, &
νον, λαβεῖν τὴν δύναμιν, καὶ πλοῦτον, καὶ σοφίαν, καὶ ἰσχὺν, καὶ
honorem, & gloriam, & benedictionem. Et omnem creaturam, quæ est
τιμὴν, καὶ δόξαν, καὶ εὐλογίαν. καὶ πᾶν κτίσμα, ὅ ἐστιν 13
in cælo, & super terram, & sub terra, &
ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, καὶ ὑποκάτω τῆς γῆς, καὶ
in mari quæ sunt, & *ea* quæ in *eis*, omnes audiui
ἐπὶ τῆς θαλάσσης ἅ ἐστι, καὶ τὰ ἐν αὐτοῖς, πάντας ἤκουσα
dicentes, Sedenti in throno, & Agno, be-
λέγοντας, τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, καὶ τῷ ἀρνίῳ ἡ εὐ-
nedictio, & honor, & gloria, & *robur* in secula
λογία, καὶ ἡ τιμὴ, καὶ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας
seculorum. *amen*. Et quatuor animalia *dicentia*, Amen.
τῶν αἰώνων. ἀμήν. καὶ τὰ τέσσαρα ζῷα λέγοντα τὸ ἀμήν. 14
& *seniores* ceciderunt, & adorauerunt.
καὶ οἱ πρεσβύτεροι ἔπεσον, καὶ προσεκύνησαν.

Margin: κατασφραγίζω · est · neque · dixit · soluere · aperuisset · singuli · cantabant · Domine · natione. · nos · regnum · regnabimus · millia milliū. Dicentium · qui est · diuinitatem, · eos: · potestas · dicebant, · viginti quatuor · in facies suas, · viuentem in secula seculorum. · προσκυνέω

CAP. VI. ς´

Et vidi quòd aperuisset Agnus vnum de septem sigil-
Καὶ εἶδον ὅτι ἤνοιξε τὸ ἀρνίον μίαν ἐκ τῶν ἑπτὰ σφραγί- 1
lis, & audiui vnum de quatuor animalibus, dicens, tanquam *vox*
δων, καὶ ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων λέγοντος, ὡς φωνὴ
tonitrui, Veni. Et vidi, & ecce equus albus, & *se-*
βροντῆς, ἔρχου. καὶ εἶδον, καὶ ἰδοὺ ἵππος λευκὸς, καὶ ὁ καθή- 2
dens super illum *habens* arcum: & data est ei corona, & exiuit
μενος ἐπ' αὐτὸν ἔχων τόξον. καὶ ἐδόθη αὐτῷ στέφανος, καὶ ἐξῆλθε
vincens, & vt vinceret. Et cùm aperuisset secundum sigillum,
νικῶν, καὶ ἵνα νικήσῃ. καὶ ὅτε ἤνοιξε τὴν δευτέραν σφραγῖδα, 3
audiui secundum animal, dicens, Veni. Et exiuit alius
ἤκουσα τοῦ δευτέρου ζώου λέγοντος, ἔρχου. καὶ ἐξῆλθεν ἄλλος 4
equus rufus, & *sedenti* super illum, datum est ei *sumere*
ἵππος πυῤῥὸς, καὶ τῷ καθημένῳ ἐπ' αὐτῷ ἐδόθη αὐτῷ λαβεῖν
pacem de terra, *vt alii alios* interficiant, & datus est ei
τὴν εἰρήνην ἐκ τῆς γῆς, ἵνα ἀλλήλους σφάξωσι, καὶ ἐδόθη αὐτῷ
gladius magnus. Et cùm aperuisset sigillum tertium,
μάχαιρα μεγάλη. καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν τρίτην, 5
audiui tertium animal, dicens, Veni. *& vidi*, & ecce equus
ἤκουσα τοῦ τρίτου ζώου λέγοντος, ἔρχου. καὶ εἶδον, καὶ ἰδοὺ ἵππος
niger, & *sedens* super illum *habens* stateram in manu sua.
μέλας, καὶ ὁ καθήμενος ἐπ' αὐτῷ ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ.
Et audiui *vocem* in medio quatuor animalium, dicen-
καὶ ἤκουσα φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζώων λέγου- 6
tem, *Chœnix* tritici denario, & tres *chœnices* hordei de-
σαν, χοῖνιξ σίτου δηναρίου, καὶ τρεῖς χοίνικες κριθῆς δη-
nario: & oleum & vinum ne læseris.
ναρίου· καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον μὴ ἀδικήσῃς.
Et cùm aperuisset quartum sigillum, audiui vo-
καὶ ὅτε ἤνοιξε τὴν τετάρτην σφραγῖδα, ἤκουσα φω- 7
cem quarti animalis, dicentis, Veni. Et *vidi, & ecce*,
νὴν τοῦ τετάρτου ζώου λέγοντος, ἔρχου. καὶ εἶδον, καὶ ἰδοὺ 8
equus pallidus, & *sedens* super eum, nomen illi
ἵππος χλωρὸς, καὶ ὁ καθήμενος ἐπάνω αὐτοῦ ὄνομα αὐτῷ,
Mors: & Infernus sequebatur *cum ea*: & data est illi
θάνατος· καὶ ὁ ᾅδης ἀκολουθεῖ μετ' αὐτοῦ· καὶ ἐδόθη αὐτῷ

Margin: vocem · & vide. · qui sedebat · habebat · νικάω · & vide. · qui sedebat · vt sumeret · & · inuicem se · & vide. · qui sedebat · habebat · tanquam · Bilibris · bilibres · ἀδικέω · & vide. · qui sedebat · eum:

quatuor partes potestas super quartam partem terræ, interficere in gladio. &
ἐξουσία ἐπὶ τὸ τέταρτον τῆς γῆς, ἀποκτεῖναι ἐν ῥομφαίᾳ καὶ
in fame, & in morte, & suo bestiis terræ.
ἐν λιμῷ καὶ ἐν θανάτῳ, καὶ ὑπὸ τῶν θηρίων τῆς γῆς.
Et cùm aperuisset quintum sigillum, vidi subtus
καὶ ὅτε ἤνοιξε τὴν πέμπτην σφραγῖδα, εἶδον ὑποκάτω 9
altare animas hominum interfectorum
τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν ἀνθρώπων τῶν ἐσφαγμένων
propter verbum Dei, & propter testimonium Agni quod
διὰ τὸν λόγον τοῦ θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν τοῦ ἀρνίου ἣν
habebant. Et clamabant voce magna, dicentes, Vsquequo
εἶχον. καὶ ἔκραξαν φωνῇ μεγάλῃ, λέγοντες, ἕως πότε ὁ 10
Domine sanctus & verus, non indicas & vindicas sanguinem
δεσπότης ὁ ἅγιος καὶ ἀληθινὸς, οὐ κρίνεις καὶ ἐκδικεῖς τὸ αἷμα
nostrum de habitantibus in terra? Et datum est illis,
ἡμῶν, ἐκ τῶν κατοικούντων ἐπὶ τῆς γῆς; καὶ ἐδόθη αὐτοῖς, 11
vt requiescerent adhuc tempus, donec compleantur & con-
ἵνα ἀναπαύσωνται ἔτι χρόνον, ἕως οὗ πληρωθῶσι καὶ οἱ σύνδου-
serui eorum, & fratres eorum, futuri trucidari sicut
λοι αὐτῶν, καὶ οἱ ἀδελφοὶ αὐτῶν, οἱ μέλλοντες ἀποκτείνεσθαι ὡς
& illi. Et vidi, & cùm aperuisset sigillum sextum, &
καὶ αὐτοί. καὶ εἶδον, καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἕκτην, καὶ 12
terræmotus magnus factus est, & sol niger factus est tanquam saccus
σεισμὸς μέγας ἐγένετο, καὶ ὁ ἥλιος μέλας ἐγένετο ὡς σάκκος
cilicinus, & luna facta est sicut sanguis. Et stellæ
τρίχινος, καὶ ἡ σελήνη ἐγένετο ὡς αἷμα. καὶ οἱ ἀστέρες τοῦ 13
cæli ceciderunt in terram, sicut ficus emittit grossos
οὐρανοῦ ἔπεσον εἰς τὴν γῆν, ὡς συκῆ βάλλει τοὺς ὀλύνθους
suos, à magno vento mota. Et cælum re-
αὐτῆς, ὑπὸ μεγάλου ἀνέμου σειομένη. καὶ ὁ οὐρανὸς ἀ- 14
cessit sicut liber inuolutus, & omnis mons & insula
πεχωρίσθη ὡς βιβλίον ἑλισσόμενον, καὶ πᾶν ὄρος καὶ νῆσος
de locis suis motæ sunt. Et reges terræ,
ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν. καὶ οἱ βασιλεῖς τῆς γῆς, 15
& magnates, & tribuni, & diuites, & for-
καὶ οἱ μεγιστᾶνες, καὶ οἱ χιλίαρχοι, καὶ οἱ πλούσιοι, καὶ οἱ ἰσχυ-
tes, & omnis seruus, & omnis liber absconderunt seipsos
ροὶ, καὶ πᾶς δοῦλος, καὶ πᾶς ἐλεύθερος ἔκρυψαν ἑαυτοὺς
in speleis, & in petris montium. Et dicunt
εἰς τὰ σπήλαια, καὶ εἰς τὰς πέτρας τῶν ὀρέων. καὶ λέγουσι 16
montibus & petris, Cadite super nos, & abscondite
τοῖς ὄρεσι καὶ ταῖς πέτραις, πέσετε ἐφ' ἡμᾶς, καὶ κρύψατε
nos à facie sedentis super thronum, & ab
ἡμᾶς ἀπὸ προσώπου τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ ἀπὸ
ira Agni. Quoniam venit dies magnus iræ
τῆς ὀργῆς τοῦ ἀρνίου. ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀρ- 17
eius: & quis poterit stare?
γῆς αὐτοῦ· καὶ τίς δύναται σταθῆναι;

Margin: quatuor partes; non; iis qui habitant; data sunt illis singulæ stolæ albæ: & dictū est illis modicum, qui interficiendi sunt; ecce; tota; de cælo super; cùm mouetur; ἀπεχώρισθη; καὶ; insulæ; κινέω; principes; speluncis; petris; ipsorum

CAP. VII. ζ'

Et post hæc vidi quatuor angelos stantes super
Καὶ μετὰ ταῦτα εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ τὰς 1
quatuor angulos terræ, tenentes quatuor ventos
τέσσαρας γωνίας τῆς γῆς, κρατοῦντας τοὺς τέσσαρας ἀνέμους
terræ, ne flaret ventus super terram, neque super ma-
τῆς γῆς, ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς, μήτε ἐπὶ τῆς θαλάσ-
re, neque super omnem arborem. Et vidi alterum angelum ascen-
σης, μήτε ἐπὶ πᾶν δένδρον. καὶ εἶδον ἄλλον ἄγγελον ἀ- 2
dentem ab ortu solis, habentem signum Dei vi-
ναβαίνοντα ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖδα θεοῦ ζῶν-
ui: & clamauit voce magna quatuor angelis, quibus
τος· καὶ ἔκραξε φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις, οἷς
datum est eis nocere terræ & mari,
ἐδόθη αὐτοῖς ἀδικῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν,
Dicens, Ne nocete terræ neque mari, ne-
λέγων, μὴ ἀδικήσατε τὴν γῆν, μήτε τὴν θάλασσαν, μή- 3
que arboribus, quoadusque signemus seruos Dei nostri
τε τὰ δένδρα, ἄχρις οὗ σφραγίσωμεν τοὺς δούλους τοῦ θεοῦ ἡμῶν
in frontibus eorum. Et audiui numerum signa-
ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφρα- 4
torum, centum & quadraginta quatuor millia signa-
γισμένων, ἑκατὸν καὶ τεσσαρακοντατέσσαρες χιλιάδες ἐσφρα-
ti ex omni tribu filiorum Israel. Ex tribu Iuda,
γισμένοι, ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ. ἐκ φυλῆς Ἰούδα, 5
duodecim millia signati: ex tribu Ruben, duodecim
δώδεκα χιλιάδες ἐσφραγισμένοι, ἐκ φυλῆς Ῥουβὴν δώδεκα
millia: ex tribu Gad, duodecim millia: Ex tribu Aser,
χιλιάδες, ἐκ φυλῆς Γὰδ δώδεκα χιλιάδες· ἐκ φυλῆς Ἀσὴρ 6
duodecim millia: ex tribu Nephthalim, duodecim millia:
δώδεκα χιλιάδες, ἐκ φυλῆς Νεφθαλεὶμ δώδεκα χιλιάδες,
ex tribu Manasse, duodecim millia: Ex tribu Symeon,
ἐκ φυλῆς Μανασσῆ δώδεκα χιλιάδες· ἐκ φυλῆς Συμεὼν 7
duodecim millia: ex tribu Leui, duodecim millia: ex tri-
δώδεκα χιλιάδες, ἐκ φυλῆς Λευῒ δώδεκα χιλιάδες, ἐκ φυ-
bu Issachar, duodecim millia: Ex tribu Zabulon, duo-
λῆς Ἰσαχὰρ δώδεκα χιλιάδες· ἐκ φυλῆς Ζαβουλὼν δώ- 8
decim millia: ex tribu Ioseph, duodecim millia: ex tri-
δεκα χιλιάδες, ἐκ φυλῆς Ἰωσὴφ δώδεκα χιλιάδες, ἐκ φυ-
bu Beniamin, duodecim millia signati.
λῆς Βενιαμὶν δώδεκα χιλιάδες ἐσφραγισμένοι.

Margin: flaret; in vllam; κράζω; Nolite nocere; &; signati; signati

Post hæc vidi, & ecce turba multa, quam dinumerare
μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ ὄχλος πολὺς, ὃν ἀριθμῆσαι 9
nemo poterat, ex omni gente, & tribubus, & populis, &
οὐδεὶς ἐδύνατο, ἐκ παντὸς ἔθνους, καὶ φυλῶν, καὶ λαῶν, καὶ
linguis, stantes ante thronum, & in conspectu Agni,
γλωσσῶν, ἑστῶτες ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τοῦ ἀρνίου,
circumamicti stolis albis, & palmæ in manibus
περιβεβλημένοι στολὰς λευκὰς, καὶ φοίνικες ἐν ταῖς χερσὶν
eorum: Et clamabant voce magna, dicentes,
αὐτῶν· καὶ κράζουσι φωνῇ μεγάλῃ, λέγοντες, ἡ σωτη- 10
Deo nostro sedenti super thronum, & Agno.
ρία τῷ θεῷ ἡμῶν, τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, καὶ τῷ ἀρνίῳ.
Et omnes angeli stabant in circuitu throni, &
καὶ πάντες οἱ ἄγγελοι εἱστήκεσαν κύκλῳ τοῦ θρόνου, καὶ 11
seniorum, & quatuor animalium, & ceciderũt in cõspectu
τῶν πρεσβυτέρων, καὶ τῶν τεσσάρων ζώων, καὶ ἔπεσον ἐνώπιον
throni in facies suas, & adorauerunt
τοῦ θρόνου ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ προσεκύνησαν τῷ
Deum, Dicentes, Amen. Benedictio, & gloria, & sa-
θεῷ, λέγοντες, ἀμήν. ἡ εὐλογία, καὶ ἡ δόξα, καὶ ἡ σο- 12
pientia, & gratiarum actio, & honor, & virtus, & fortitudo
φία, καὶ ἡ εὐχαριστία, καὶ ἡ τιμὴ, καὶ ἡ δύναμις, καὶ ἡ ἰσχὺς
Deo nostro in secula seculorum. Amen.
τῷ θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.
Et respondit vnus ex senioribus, dicens mihi, Hi
καὶ ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων, λέγων μοι, οὗτοι οἱ 13
circumamicti stolis albis, qui sunt? & vnde
περιβεβλημένοι τὰς στολὰς τὰς λευκὰς, τίνες εἰσὶ, καὶ πόθεν
venerunt? Et dixi illi, Domine mi, tu scis. & dixit mihi,
ἦλθον; καὶ εἴρηκα αὐτῷ, κύριέ μου, σὺ οἶδας. καὶ εἶπέ μοι, 14
Hi sunt venientes de tribulatione magna, &
οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως τῆς μεγάλης, καὶ
lauerunt stolas suas, & dealbauerunt eas in san-
ἔπλυναν τὰς στολὰς αὐτῶν, καὶ ἐλεύκαναν αὐτὰς ἐν τῷ αἵ-
guine Agni. Propter hoc sunt ante thronum Dei,
ματι τοῦ ἀρνίου. διὰ τοῦτό εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ θεοῦ, 15
& seruiunt ei die ac nocte in templo eius,
καὶ λατρεύουσιν αὐτῷ ἡμέρας καὶ νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ·
& sedens in throno habitabit super illos.
καὶ ὁ καθήμενος ἐπὶ τοῦ θρόνου σκηνώσει ἐπ' αὐτούς.
Non esurient amplius, neque sitient amplius, neque cadet
οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψήσουσιν ἔτι, οὐδ' οὐ μὴ πέσῃ 16
super illos sol, neque omnis æstus: Quoniam Agnus qui per me-
ἐπ' αὐτοὺς ὁ ἥλιος, οὐδὲ πᾶν καῦμα· ὅτι τὸ ἀρνίον τὸ ἀνὰ- 17
dium throni, pascet illos, & deducet eos ad
μέσον τοῦ θρόνου ποιμανεῖ αὐτοὺς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ
vitæ fontes aquarum: & absterget Deus omnem lachrymam ab
ζωῆς πηγὰς ὑδάτων· καὶ ἐξαλείψει ὁ θεὸς πᾶν δάκρυον ἐκ
oculis eorum.
τῶν ὀφθαλμῶν αὐτῶν.

Margin: turbam magnam; omnibus gentibus; qui sedet; ἵστημι; claritas; & dixit; ἀποκρίνομαι; qui sunt; qui venerunt; πλύνω; Ideo; qui sedet; vllus estus in medio; reget

CAP. VIII. η'

Et cùm aperuisset sigillum septimum, factum est silentium
Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἑβδόμην, ἐγένετο σιγὴ 1
in cælo quasi media hora. Et vidi septem angelos
ἐν τῷ οὐρανῷ ὡς ἡμιώριον. καὶ εἶδον τοὺς ἑπτὰ ἀγγέλους, 2
qui in conspectu Dei steterunt: & datæ sunt illis septem tu-
οἳ ἐνώπιον τοῦ θεοῦ ἑστήκασι· καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλ-
bæ. Et alius angelus venit, & stetit ad al-
πιγγες. καὶ ἄλλος ἄγγελος ἦλθε, καὶ ἐστάθη ἐπὶ τὸ θυ- 3
tare, habens thuribulum aureum, & data sunt illi in-
σιαστήριον ἔχων λιβανωτὸν χρυσοῦν, καὶ ἐδόθη αὐτῷ θυ-
censa multa, vt daret orationibus sanctorum om-
μιάματα πολλὰ, ἵνα δώσῃ ταῖς προσευχαῖς τῶν ἁγίων πάν-
nium super altare aureum quod ante thronum.
των ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν τὸ ἐνώπιον τοῦ θρόνου.
Et ascendit fumus incensorum orationibus
καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς προσευχαῖς τῶν 4
sanctorum de manu angeli, coram Deo. Et accepit
ἁγίων, ἐκ χειρὸς τοῦ ἀγγέλου, ἐνώπιον τοῦ θεοῦ. καὶ εἴληφεν 5
angelus thuribulum, & impleuit illud de igne
ὁ ἄγγελος τὸν λιβανωτὸν, καὶ ἐγέμισεν αὐτὸν ἐκ τοῦ πυρὸς τοῦ
altaris, & misit in terram, & facta sunt voces,
θυσιαστηρίου, καὶ ἔβαλεν εἰς τὴν γῆν· καὶ ἐγένοντο φωναὶ,
& tonitrua, & fulgura, & terræmotus. Et septem ange-
καὶ βρονταὶ, καὶ ἀστραπαὶ, καὶ σεισμός. καὶ οἱ ἑπτὰ ἄγγε- 6
li habentes septem tubas, præparauerunt seipsos vt
λοι οἱ ἔχοντες τὰς ἑπτὰ σάλπιγγας, ἡτοίμασαν ἑαυτοὺς ἵνα
clangerent. Et primus clanxit, & facta est gran-
σαλπίσωσι. καὶ ὁ πρῶτος ἐσάλπισε, καὶ ἐγένετο χά- 7
do: & ignis, mixta in sanguine, & missa sunt in
λαζα, καὶ πῦρ μεμιγμένα ἐν αἵματι, καὶ ἐβλήθη εἰς τὴν
terram: & tertia pars terræ combusta est, & omne fœnum viri-
γῆν· καὶ τὸ τρίτον τῆς γῆς κατεκάη, καὶ πᾶς χόρτος χλω-
de combustum est. Et secundus angelus clanxit, &
ρὸς κατεκάη. καὶ ὁ δεύτερος ἄγγελος ἐσάλπισε, καὶ 8
tanquã mons magnus incensus missus est in mare: & facta
ὡς ὄρος μέγα καιόμενον ἐβλήθη εἰς τὴν θάλασσαν· καὶ ἐγέ-
est tertia pars maris, sanguis.
νετο τὸ τρίτον τῆς θαλάσσης αἷμα·

Margin: stantes; ante; Dei; de; magnus; qui habebant tubas canenter; angelus tuba cecinit; missum est; & tertia pars arborum concremata est; tuba cecinit; καταπαίω; igne ardens

Et mortua est tertia pars *creaturarum in mari,
καὶ ἀπέθανε τὸ τρίτον τῶν κτισμάτων ἐν τῇ θαλάσσῃ, τὰ 9
*habentia animas, & tertia pars nauium ‖perierunt. Et
ἔχοντα ψυχάς, καὶ τὸ τρίτον τῶν πλοίων *διεφθάρησαν. καὶ ὁ 10
tertius angelus *clanxit, & cecidit de cælo stella magna
τρίτος ἄγγελος ἐσάλπισε, καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ μέγας
‖incensa tanquam *lampas, & cecidit in tertiam partem fluminum,
καιόμενος ὡς λαμπάς, καὶ ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν,
& in fontes aquarum. Et nomen stellæ dicitur
καὶ ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων. καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται 11
Absinthium. & facta est tertia pars aquarum in Absinthium, & mul-
ὁ ἄψινθος· καὶ ἐγένετο τὸ τρίτον τῶν ὑδάτων εἰς ἄψινθον, καὶ πολ-
ti hominum mortui sunt de aquis, quia amaræ factæ sunt.
λοὶ τῶν ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων, ὅτι [b]ἐπικράνθησαν.
Et quartus angelus *clanxit, & percussa est tertia pars
καὶ ὁ τέταρτος ἄγγελος ἐσάλπισε, καὶ [c]ἐπλήγη τὸ τρίτον τοῦ 12
solis, & tertia pars lunæ, & tertia pars stellarum, ita vt
ἡλίου, καὶ τὸ τρίτον τῆς σελήνης, καὶ τὸ τρίτον τῶν ἀστέρων, ἵνα
obscuraretur tertia pars eorum, & *dies non luceret *tertiam partem ipsius,
σκοτισθῇ τὸ τρίτον αὐτῶν, καὶ ἡ ἡμέρα μὴ φαίνῃ τὸ τρίτον αὐτῆς,
& nox similiter. Et vidi, & audiui *vnam aquilam volantem
καὶ ἡ νὺξ ὁμοίως. καὶ εἶδον, καὶ ἤκουσα ἑνὸς ἀετοῦ πετωμένου 13
in medio cæli, *dicentem voce magna ter, Væ, væ,
ἐν μεσουρανήματι, λέγοντος φωνῇ μεγάλῃ τρίς, οὐαί, οὐαί,
væ habitantibus in terra, de cæteris vocibus
οὐαὶ τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς, ἐκ τῶν λοιπῶν φωνῶν τῆς
tubæ trium angelorum ‖futurorum clangere.
σάλπιγγος τῶν τριῶν ἀγγέλων τῶν μελλόντων σαλπίζειν.

CAP. IX. θ'

Et quintus angelus *clanxit: & vidi stellam de
Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισε, καὶ εἶδον ἀστέρα ἐκ τοῦ 1
cælo *delapsam in terram, & data est ei clauis
οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν, καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ
putei abyssi. Et aperuit puteum abyssi, &
φρέατος τῆς ἀβύσσου. καὶ ἤνοιξε τὸ φρέαρ τῆς ἀβύσσου, καὶ 2
ascendit fumus *ex puteo sicut fumus fornacis ‖ardentis,
ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς καμίνου καιομένης,
& obscuratus est sol & aër de fumo putei.
καὶ ἐσκοτίσθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος.
Et de fumo* exierunt locustæ in terram, & data est
καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν, καὶ ἐδόθη 3
illis potestas, sicut habent potestatem scorpiones terræ.
αὐταῖς ἐξουσία, ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς.
Et ‖dictum est illis, ne læderent ‖fœnum terræ,
καὶ ἐρρέθη αὐταῖς ἵνα μὴ ἀδικήσωσι τὸν χόρτον τῆς γῆς, 4
neque omne viride, neque omnem arborem, nisi homines *so-
οὐδὲ πᾶν χλωρόν, οὐδὲ πᾶν δένδρον, εἰ μὴ τοὺς ἀνθρώπους μό-
los qui non habent signum Dei in frontibus suis.
νους οἵτινες οὐκ ἔχουσι τὴν σφραγῖδα τοῦ θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.
Et datum est illis ne occiderent eos, sed vt cru-
καὶ ἐδόθη αὐταῖς ἵνα μὴ ἀποκτείνωσιν αὐτούς, ἀλλ' ἵνα βα- 5
ciarent mensibus quinque. & cruciatus eorum, vt cru-
σανίσωσι μῆνας πέντε· καὶ ὁ βασανισμὸς αὐτῶν ὡς βασα-
ciatus scorpij, cùm percutit hominem. Et in die-
νισμὸς σκορπίου, ὅταν πλήξῃ ἄνθρωπον. καὶ ἐν ταῖς ἡμέ- 6
bus illis quærent homines mortem, & non inue-
ραις ἐκείναις ζητοῦσιν οἱ ἄνθρωποι τὸν θάνατον, καὶ οὐ μὴ εὑρή-
nient eam: & desiderabunt mori, & fugiet ab
σουσιν αὐτόν· καὶ ἐπιθυμήσουσιν ἀποθανεῖν, καὶ φεύξεται ἀπ'
eis mors. Et similitudines locustarum, similes
αὐτῶν ὁ θάνατος. καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια 7
equis paratis in prælium: & super capita earum
ἵπποις [d]ἡτοιμασμένοις εἰς πόλεμον· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν
tanquam coronæ *aureæ, & facies earum velut facies
ὡς στέφανοι χρυσοῖ, καὶ τὰ πρόσωπα αὐτῶν ὡς πρόσωπα
hominum: Et habebant capillos sicut capillos mulierum: & dentes
ἀνθρώπων· καὶ εἶχον τρίχας ὡς τρίχας γυναικῶν· καὶ οἱ ὀδόντες 8
earum sicut leonum erant: Et habebant *thoraces sicut *thoraces ‖fer-
αὐτῶν ὡς λεόντων ἦσαν· καὶ εἶχον θώρακας ὡς θώρακας σιδη- 9
reos: & vox alarum earum sicut vox curruum equorum
ροῦς· καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν ὡς φωνὴ ἁρμάτων ἵππων
multorum currentium in bellum: Et habebant caudas similes
πολλῶν τρεχόντων εἰς πόλεμον· καὶ ἔχουσιν οὐρὰς ὁμοίας 10
‖scorpiis, & *aculeos & in caudis *suis potestatem habent ad
σκορπίοις, καὶ κέντρα. καὶ ἐν ταῖς οὐραῖς αὐτῶν ἐξουσίαν ἔχουσι τοῦ
lædendum homines mensibus quinque. *Habentes regem
ἀδικῆσαι τοὺς ἀνθρώπους μῆνας πέντε· ἔχουσαι βασιλέα 11
super se angelum abyssi, *nomen ei Hebraicè, Abad-
ἐφ' αὐτῶν τὸν ἄγγελον τῆς ἀβύσσου, ὄνομα αὐτῷ ἑβραϊστί, Ἀβαδ-
don, *in autem Græca nomen habet, Apollyon.* Væ
δών, ἐν δὲ τῇ ἑλληνικῇ ὄνομα ἔχει, ὁ Ἀπολλύων. ἡ οὐαὶ 12
vnum abiit, ‖ecce veniunt adhuc duo væ post hæc.
ἡ μία ἀπῆλθεν, ἰδοὺ ἔρχεται ἔτι δύο οὐαὶ μετὰ ταῦτα.
Et sextus angelus ‖clanxit, & audiui vocem vnam ex
Καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισε, καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν 13
quatuor cornibus altaris aurei quod ‖coram Deo,
τεσσάρων κεράτων τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ θεοῦ,
Dicentem sexto angelo, *Habens tubam, solue
λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ, ὁ ἔχων τὴν σάλπιγγα, λῦσον 14

*creaturæ — ‖eorum quæ habebant — ‖interiit. — [a] διαφθείρω — *tuba cecinit: — ‖ardens — *facula: — [b] πικραίνομαι — *tuba cecinit: — [c] πλήττω — *diei — *pars tertia, & noctis — *vocem vnius aquilæ volantis per medium — *dicentis — ‖qui erant tuba canituri. — *tuba cecinit: — *cecidisse. — *putei — ‖magnæ: — *putei — ‖præceptum — *tantùm — [d] ἑτοιμάζομαι — *similes auro: — *loricas ‖ferreas — ‖scorpionum: — *aculei erant — *earũ & potestas earũ nocere hominibus — *Et habebant — *cui — *Græcè — *Latinè habens nomen Exterminans. — ‖& — ‖tuba cecinit: — ‖est ante oculos Dei. — *qui habebat

quatuor angelos *alligatos in flumine
τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ τῷ
magno Euphrate. Et soluti sunt quatuor angeli
μεγάλῳ Εὐφράτῃ. καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι οἱ ἡ- 15
*parati in horam, ‖& mensem, & annum, vt oc-
τοιμασμένοι εἰς τὴν ὥραν, καὶ μῆνα, καὶ ἐνιαυτόν, ἵνα ἀπο-
ciderent tertiam partem hominum. Et numerus *exer-
κτείνωσι τὸ τρίτον τῶν ἀνθρώπων. καὶ ὁ ἀριθμὸς τῶν στρα- 16
cituum equi, myriades myriadum. audiui numerum
τευμάτων τοῦ ἵππου, μυριάδες μυριάδων. ἤκουσα τὸν ἀριθμὸν
eorum. Et ita vidi equos in visione, & *se-
αὐτῶν. καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει, καὶ τοὺς κα- 17
dentes super eos *habentes loricas igneas, & hyacin-
θημένους ἐπ' αὐτῶν ἔχοντας θώρακας πυρίνους καὶ ὑακιν-
thinas, & sulphureas. & capita equorum *tanquam capita
θίνους καὶ θειώδεις· καὶ αἱ κεφαλαὶ τῶν ἵππων ὡς κεφαλαὶ
leonum: & de *oribus eorum procedit ignis, &
λεόντων· καὶ ἐκ τῶν στομάτων αὐτῶν ἐκπορεύεται πῦρ, καὶ
fumus, & sulphur. ‖A tribus plagis his occisa
καπνός, καὶ θεῖον. ἀπὸ τῶν τριῶν πληγῶν τούτων ἀπεκτάν- 18
est tertia pars hominum, de igne, & *fumo,
θησαν τὸ τρίτον τῶν ἀνθρώπων, ἐκ τοῦ πυρός, καὶ τοῦ καπνοῦ,
& sulphure *procedente ex oribus ipsorum.
καὶ τοῦ θείου τοῦ ἐκπορευομένου ἐκ τῶν στομάτων αὐτῶν.
Nam potestas* equorum in ore eorum est, & in
ἡ γὰρ ἐξουσία τῶν ἵππων ἐν τῷ στόματι αὐτῶν ἐστι, καὶ ἐν 19
caudis eorum. nam caudæ eorum similes serpentibus, habentes
ταῖς οὐραῖς αὐτῶν. αἱ γὰρ οὐραὶ αὐτῶν ὅμοιαι ὄφεσιν, ἔχουσαι
capita, & in his nocent. Et cæteri *ho-
κεφαλάς, καὶ ἐν αὐταῖς ἀδικοῦσι. καὶ οἱ λοιποὶ τῶν ἀν- 20
minum qui non occisi sunt in plagis his, *non
θρώπων οἳ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς ταύταις, οὐ
pœnitentiã egerunt de operibus manuum suarum, vt non ado-
μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα μὴ προσκυνή-
rent dæmonia, & simulachra aurea, & argentea,
σωσι τὰ δαιμόνια, καὶ τὰ εἴδωλα τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ,
& ærea, & lapidea, & lignea, quæ neque videre
καὶ τὰ χαλκᾶ, καὶ τὰ λίθινα, καὶ τὰ ξύλινα, ἃ οὔτε βλέπειν
possunt, neque audire, neque ambulare. Et nõ egerũt pœnitentiã
δύναται, οὔτε ἀκούειν, οὔτε περιπατεῖν. καὶ οὐ μετενόησαν 21
ab homicidiis suis; neque à veneficiis suis, neque à
ἐκ τῶν φόνων αὐτῶν, οὔτε ἐκ τῶν φαρμακειῶν αὐτῶν, οὔτε ἐκ
fornicatione sua, neque à furtis suis.
τῆς πορνείας αὐτῶν, οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

CAP. X. ι

Et vidi ‖angelum fortem descendentem de cælo,
Καὶ εἶδον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, 1
amictum nube: & iris in capite eius, &
περιβεβλημένον νεφέλην· καὶ ἶρις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ
facies eius* vt sol, & pedes eius tanquã columnæ
τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ οἱ πόδες αὐτοῦ ὡς στῦλοι
ignis. Et habebat in manu sua libellum aper-
πυρός. καὶ εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλιδάριον *ἀνεῳγμέ- 2
tum: & posuit pedem suum dextrum super mare,
νον· καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τῆς θαλάσσης,
at sinistrum* super terram. Et clamauit voce ma-
τὸν δὲ εὐώνυμον ἐπὶ τῆς γῆς. καὶ ἔκραξε φωνῇ μεγά- 3
gna, quemadmodũ ‖leo rugit. & cùm clamasset, locuta sunt
λῃ ὥσπερ λέων μυκᾶται. καὶ ὅτε ἔκραξεν, ἐλάλησαν αἱ
septem tonitrua suas ipsorum voces. Et cùm locuta fuissent
ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν φωνάς. καὶ ὅτε ἐλάλησαν αἱ 4
septem tonitrua*, futurus eram scribere: & audiui vocem de
ἑπτὰ βρονταί, ἔμελλον γράφειν· καὶ ἤκουσα φωνὴν ἐκ τοῦ
cælo, dicentem*, Signa quæ locuta sunt septem toni-
οὐρανοῦ, λέγουσαν, σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρον-
trua, & *post hac scribis. Et angelus, quem vidi
ταί, καὶ μετὰ ταῦτα γράφεις. καὶ ὁ ἄγγελος, ὃν εἶδον 5
stantem super mare & super terram, leuauit manum
ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς, ἦρε τὴν χεῖρα
suam dexteram ad cælum. Et iurauit *in
αὐτοῦ τὴν δεξιὰν εἰς τὸν οὐρανόν, καὶ ὤμοσεν ἐν τῷ 6
viuente in secula seculorum, qui creauit cælum &
ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ
ea quæ* in eo, & terram & ea quæ* in ea, & ma-
τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ τὴν θάλασ-
re & ea quæ* in eo: quia tempus non amplius erit. Sed in
σαν καὶ τὰ ἐν αὐτῇ· ὅτι χρόνος οὐκ ἔτι ἔσται. ἀλλ' ἐν ταῖς 7
diebus vocis septimi angeli, cùm ‖futurus erit clan-
ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου, ὅταν μέλλῃ σαλ-
gere, consummabitur mysterium Dei, *quod euangelizauit
πίζειν, τελεσθῇ τὸ μυστήριον τοῦ θεοῦ, ὃ εὐηγγέλισε τοὺς
*seruos suos prophetas. Et vox quam audiui ‖
δούλους αὐτοῦ τοὺς προφήτας. καὶ ἡ φωνὴ ἣν ἤκουσα 8
de cælo, iterum *locuta mecum, & *dicens,
ἐκ τοῦ οὐρανοῦ, πάλιν λαλοῦσα μετ' ἐμοῦ, καὶ λέγουσα,
Vade, ‖accipe librum apertum *in manu
ὕπαγε, λάβε τὸ βιβλιδάριον τὸ ἀνεῳγμένον ἐν τῇ χειρὶ τοῦ
angeli stantis super mare, & super terram.
ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης, καὶ ἐπὶ τῆς γῆς.

*qui alligati sunt — *qui erant — ‖& diem, — *equestris exercitus vicies millies dena millia. & — *qui sedebant — *habebant — *erant — *ore — ‖Et ab — *de — *quæ procedebant ex ore — *enim — *homines — *neque — ‖alium — *erat — * ἀνοίγω — *autem — ‖cùm — *voces suas, ego scripturus erã: — *mihi, — *noli ea scribere. — * μὴ ταῦτα γράψῃς. — *per viuentem — *sunt — ‖cœperit tuba canere, — *sicut — *per ‖vocem — *loquentem — *dicentem, — ‖& *de

Et abii ad angelum, dicens ei, ‖Da mihi
καὶ ἀπῆλθον πρὸς τὸν ἄγγελον, λέγων αὐτῷ, δός μοι τὸ 9
librum. & dixit mihi, Accipe, & deuora illum. & faciet ama-
βιβλιδάριον. καὶ λέγει μοι, λάβε, καὶ κατάφαγε αὐτό. καὶ πικρα-
ricari tuum ventrem, sed in ore tuo erit dulce tanquam mel.
νεῖ σου τὴν κοιλίαν, ἀλλ' ἐν τῷ στόματί σου ἔσται γλυκὺ ὡς μέλι.
Et accepi librum de manu angeli, & deuo-
καὶ ἔλαβον τὸ βιβλιδάριον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου, καὶ κατέ- 10
raui illum: & erat in ore meo tanquam mel dulce. & cùm
φαγον αὐτό· καὶ ἦν ἐν τῷ στόματί μου ὡς μέλι γλυκύ. καὶ ὅτε
deuorassem eum, amaricatus est venter meus. Et dixit mihi, Oportet
ἔφαγον αὐτό, ἐπικράνθη ἡ κοιλία μου. καὶ λέγει μοι, δεῖ 11
te iterum prophetizare *in* populis, & *in* Gentibus, & linguis,
σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς, καὶ ἐπὶ ἔθνεσι, καὶ γλώσσαις,
& regibus multis.
καὶ βασιλεῦσι πολλοῖς.

CAP. XI. ια

Et datus est mihi calamus similis virgæ, & ‖astitit ange-
Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ, καὶ εἱστήκει ὁ ἄγγε- 1
lus, dicens, Surge, & metire templum Dei, & altare,
λος, λέγων, ἔγειραι, καὶ μέτρησον τὸν ναὸν τοῦ θεοῦ, καὶ τὸ θυσιαστήριον,
& adorantes in eo. *Et* atrium ‖quod foris templum,
καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ. καὶ τὴν αὐλὴν τὴν ἔξωθεν τοῦ ναοῦ, 2
eiice foras, & ne illud metiaris, quoniã datum est Gentibus: &
ἔκβαλε ἔξωθεν, καὶ μὴ αὐτὴν μετρήσῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσι· καὶ
ciuitatem sanctam calcabunt mensibus quadraginta duobus.
τὴν πόλιν τὴν ἁγίαν πατήσουσι μῆνας τεσσαράκοντα δύο.
Et dabo duobus testibus meis, & prophetabunt diebus
καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ προφητεύσουσιν ἡμέρας 3
mille ducentis sexaginta, amicti saccis.
χιλίας διακοσίας ἑξήκοντα, περιβεβλημένοι σάκκους.
Hi sunt duæ oliuæ, & duo candelabra in conspectu
οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι, καὶ αἱ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ 4
Domini terræ stantes. Et si quis eos voluerit nocere, ignis
κυρίου τῆς γῆς ἑστῶσαι. καὶ εἴ τις αὐτοὺς θέλῃ ἀδικῆσαι, πῦρ 5
‖*egreditur* de ore eorum, & *deuorat* inimicos eo-
ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν, καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐ-
rum. & si quis eos voluerit lædere, sic oportet eum occidi.
τῶν. καὶ εἴ τις αὐτοὺς θέλῃ ἀδικῆσαι, οὕτω δεῖ αὐτὸν ἀποκτανθῆναι.
Hi habent potestatem ‖*claudere* cælum, ne *pluuia* pluat
οὗτοι ἔχουσιν ἐξουσίαν κλεῖσαι τὸν οὐρανόν, ἵνα μὴ ὑετὸς βρέχῃ 6
diebus prophetiæ illorum: & potestatem habent super
τὰς ἡμέρας τῆς προφητείας αὐτῶν· καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν
aquas ‖*conuertere* eas in sanguinem, & percutere terram *in* omni
ὑδάτων στρέφειν αὐτὰ εἰς αἷμα, καὶ πατάξαι τὴν γῆν ἐν πάσῃ
plaga, quotiescunque voluerint. Et cùm finierint testimo-
πληγῇ, ὁσάκις ἐὰν θελήσωσι. καὶ ὅταν τελέσωσι τὴν μαρτυ- 7
nium suum, bestia *ascendens* de abysso, faciet *cum*
ρίαν αὐτῶν, τὸ θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου ποιήσει μετ'
eis bellum, & vincet illos, & occidet eos.
αὐτῶν πόλεμον, καὶ νικήσει αὐτούς, καὶ ἀποκτενεῖ αὐτούς·
Et *cadauera* eorum in *platea* ciuitatis magnæ,
καὶ τὰ πτώματα αὐτῶν ἐπὶ τῆς πλατείας τῆς πόλεως τῆς μεγάλης, 8
quæ vocatur spiritualiter Sodoma & Aegyptus, vbi &
ἥτις καλεῖται πνευματικῶς σόδομα καὶ αἴγυπτος, ὅπου καὶ ὁ
Dominus eorum crucifixus est. Et *vident* de populis, & tribubus,
κύριος αὐτῶν ἐσταυρώθη· καὶ βλέπουσιν ἐκ τῶν λαῶν, καὶ φυλῶν, 9
& linguis, & Gentibus, *cadauera* eorum dies tres dimidium:
καὶ γλωσσῶν, καὶ ἐθνῶν, τὰ πτώματα αὐτῶν ἡμέρας τρεῖς ἥμισυ·
& *cadauera* eorum non sinent poni in *monumentum.*
καὶ τὰ πτώματα αὐτῶν οὐκ ἀφήσουσι τεθῆναι εἰς μνήματα.
Et *habitantes in terra* gaudebunt super illos, & iocun-
καὶ οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χαίρουσιν ἐπ' αὐτοῖς, καὶ εὐφραν- 10
dabuntur, & munera mittent *alij aliis*: quoniam hi duo pro-
θήσονται, καὶ δῶρα πέμψουσιν ἀλλήλοις, ὅτι οὗτοι οἱ δύο προ-
phetæ cruciauerunt *habitantes* super terram. Et post tres
φῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. καὶ μετὰ τρεῖς 11
dies & dimidium, spiritus vitæ à Deo intrauit in eos,
ἡμέρας καὶ ἥμισυ, πνεῦμα ζωῆς ἐκ τοῦ θεοῦ εἰσῆλθεν ἐπ' αὐτούς,
& steterunt super pedes suos, & timor magnus cecidit
καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ φόβος μέγας ἐπέπεσεν
super *spectantes* eos. Et ‖*audiui* vocem magnam de
ἐπὶ τοὺς θεωροῦντας αὐτούς. καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ 12
cælo, dicentem eis, Ascendite huc. & ascenderunt in cæ-
οὐρανοῦ, λεγούσης αὐτοῖς, ἀνάβητε ὧδε. καὶ ἀνέβησαν εἰς τὸν οὐρα-
lum in nube: & viderunt illos inimici eorum.
νὸν ἐν τῇ νεφέλῃ· καὶ ἐθεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν.
Et in illa hora factus est terræmotus magnus, & decima pars
καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγένετο σεισμὸς μέγας, καὶ τὸ δέκατον 13
ciuitatis cecidit, & occisa sunt in terræmotu nomina
τῆς πόλεως ἔπεσε, καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα
hominum millia septem, & reliqui ‖*territi facti sunt*, &
ἀνθρώπων χιλιάδες ἑπτά, καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο, καὶ
dederunt gloriam Deo cæli. Væ secundum abiit,
ἔδωκαν δόξαν τῷ θεῷ τοῦ οὐρανοῦ. ἡ οὐαὶ ἡ δευτέρα ἀπῆλ- 14
‖væ tertium ecce veniet citò. Et septimus angelus
θεν, ἡ οὐαὶ ἡ τρίτη ἰδοὺ ἔρχεται ταχύ. καὶ ὁ ἕβδομος ἄγγελος 15
clanxit: & factæ sunt voces magnæ in cælo, dicentes,
ἐσάλπισε, καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ, λέγουσαι,
Factum est regnum huius mundi, Domini nostri, & Christi eius,
ἐγένετο ἡ βασιλεία τοῦ κόσμου, τοῦ κυρίου ἡμῶν, καὶ τοῦ χριστοῦ αὐτοῦ,

Margin: ‖vt daret · librum, · ‖dictum est mihi, · ἐγείρω · ‖autem est · ‖exiet · deuorabit · ‖claudendi · ‖conuertendi · quæ ascendit · aduersus eos · corpora · iacebunt · plateis · videbunt · corpora · per & · monumentis. · corpora · inhabitantes terram · εὐφραίνομαι · inuicem: · eos qui habitant · eos qui viderunt · ‖audierunt · ‖in timorem missi sunt: · ‖& · tuba cecinit:

& regnabit in secula seculorum. ‖Et viginti qua-
16 καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ οἱ εἰκοσιτέσ-
tuor seniores ‖in conspectu Dei *sedentes* in
σαρες πρεσβύτεροι οἱ ἐνώπιον τοῦ θεοῦ καθήμενοι ἐπὶ τοὺς
‖*thronis* suis, ceciderunt in facies suas, & ado-
θρόνους αὐτῶν, ἔπεσον ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ προσε-
rauerunt Deum, Dicentes, Gratias agimus tibi, Domine
17 κύνησαν τῷ θεῷ, λέγοντες, εὐχαριστοῦμέν σοι, κύριε ὁ
Deus omnipotens, qui ‖*existens*, & qui *erat*, & qui venturus, quia acce-
θεὸς ὁ παντοκράτωρ, ὁ ὤν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, ὅτι εἴλη-
pisti virtutem tuam magnam, & regnasti.
φας τὴν δύναμίν σου τὴν μεγάλην, καὶ ἐβασίλευσας.
Et Gentes iratæ sunt, & aduenit ira tua, & tempus
18 καὶ τὰ ἔθνη ὠργίσθησαν, καὶ ἦλθεν ἡ ὀργή σου, καὶ ὁ καιρὸς τῶν
mortuorum, iudicari, & reddere mercedem seruis tuis pro-
νεκρῶν, κριθῆναι, καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προ-
phetis, & sanctis, & timentibus nomen tuum,
φήταις, καὶ τοῖς ἁγίοις, καὶ τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοῖς
paruis & magnis, & ‖*perdere corrumpentes*
μικροῖς καὶ τοῖς μεγάλοις, καὶ διαφθεῖραι τοὺς διαφθείροντας
terram. Et apertum est templum Dei in cælo, & visa est
19 τὴν γῆν. καὶ ἠνοίγη ὁ ναὸς τοῦ θεοῦ ἐν τῷ οὐρανῷ, καὶ ὤφθη
arca testamenti *Domini* in templo eius, & facta sunt
ἡ κιβωτὸς τῆς διαθήκης τοῦ κυρίου ἐν τῷ ναῷ αὐτοῦ, καὶ ἐγένοντο
fulgura, & voces, & *tonitrua*, & grando magna.
ἀστραπαί, καὶ φωναί, καὶ βρονταί, καὶ χάλαζα μεγάλη.

CAP. XII. ιβ

Et signum magnum ‖*visum est* in cælo: Mulier *circumami-*
1 Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ· γυνὴ περιβεβλη-
cta sole, & luna sub pedibus eius: & in
μένη τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ
capite eius corona stellarum duodecim: Et in vtero
2 τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα· καὶ ἐν γαστρὶ
habens *clamabat *doloribus partus detenta, & cruciata parere.*
ἔχουσα ἔκραζεν ὠδίνουσα, καὶ βασανιζομένη τεκεῖν.
Et visum est aliud signum in cælo, & ecce draco ma-
3 καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ, καὶ ἰδοὺ δράκων μέ-
gnus rufus, habens capita septem, & cornua decem: & in
γας πυρρός, ἔχων κεφαλὰς ἑπτά, καὶ κέρατα δέκα· καὶ ἐπὶ τὰς
capitibus eius septem diademata. Et cauda eius trahebat
4 κεφαλὰς αὐτοῦ ἑπτὰ διαδήματα. καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ
tertiã partem stellarum cæli, & misit eas in terram: &
τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν· καὶ
draco stetit ante mulierem ‖*futuram parere*,
ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τίκτειν,
vt cùm peperisset filium *suum* deuoraret. Et peperit filium
5 ἵνα ὅταν τέκῃ τὸ τέκνον αὐτῆς, καταφάγῃ. καὶ ἔτεκεν υἱὸν
masculum, qui ‖*futurus* erat *pascere* omnes Gentes in virga fer-
ἄρρενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδη-
rea: & raptus est filius eius ad Deum, & ad thronum
ρᾷ· καὶ ἡρπάγη τὸ τέκνον αὐτῆς πρὸς τὸν θεόν, καὶ πρὸς τὸν θρόνον
eius. Et mulier fugit in solitudinem, vbi *habet ibi* lo-
6 αὐτοῦ. καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει ἐκεῖ τό-
cum paratum à Deo, vt ibi pascant eam die-
πον ἡτοιμασμένον ἀπὸ τοῦ θεοῦ, ἵνα ἐκεῖ ἐκτρέφωσιν αὐτὴν ἡμέ-
bus mille ducentis sexaginta. Et factum est prælium in
7 ρας χιλίας διακοσίας ἑξήκοντα. καὶ ἐγένετο πόλεμος ἐν τῷ
cælo: Michael & angeli eius *præliari* cum
οὐρανῷ· ὁ μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ τοῦ πολεμῆσαι μετὰ
dracone, & draco pugnabat, & angeli eius.
τοῦ δράκοντος, καὶ ὁ δράκων ἐπολέμησε, καὶ οἱ ἄγγελοι αὐτοῦ.
Et non *valuit*, neque locus inuentus est *ei* amplius in cælo.
8 καὶ οὐκ ἴσχυσεν, οὐδὲ τόπος εὑρέθη αὐτῷ ἔτι ἐν τῷ οὐρανῷ.
Et proiectus est draco ille magnus, serpens antiquus, *voca-*
9 καὶ ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις ὁ ἀρχαῖος, ὁ καλούμε-
tus diabolus & Satanas, *seducens habitatam vniuersam*, proiectus
νος διάβολος καὶ σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, ἐβλή-
est in terram, & angeli eius cum illo *proiecti* sunt.
θη εἰς τὴν γῆν, καὶ οἱ ἄγγελοι αὐτοῦ μετ' αὐτοῦ ἐβλήθησαν.
Et audiui vocem magnam in cælo, dicentem, Nunc fa-
10 καὶ ἤκουσα φωνὴν μεγάλην ἐν τῷ οὐρανῷ, λέγουσαν, ἄρτι ἐ-
cta est salus, & virtus, & regnum Dei nostri,
γένετο ἡ σωτηρία, καὶ ἡ δύναμις, καὶ ἡ βασιλεία τοῦ θεοῦ ἡμῶν,
& potestas Christi eius: quia proiectus est accusator
καὶ ἡ ἐξουσία τοῦ χριστοῦ αὐτοῦ· ὅτι κατεβλήθη ὁ κατήγορος τῶν
fratrum nostrorum, *accusans* illos ante conspectum Dei nostri die
ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτῶν ἐνώπιον τοῦ θεοῦ ἡμῶν ἡμέ-
ac nocte. Et ipsi vicerunt eum propter sanguinem Ag-
11 ρας καὶ νυκτός. καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ ἀρ-
ni, & propter verbum testimonij sui: & non dilexerunt
νίου, καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν. καὶ οὐκ ἠγάπησαν τὴν
animam suam vsque ad mortem. *Propter hoc* lætamini cæli,
12 ψυχὴν αὐτῶν ἄχρι θανάτου. διὰ τοῦτο εὐφραίνεσθε οἱ οὐρανοί,
& in eis *habitantes*. væ terræ, & mari: quia
καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες. οὐαὶ τῇ γῇ, καὶ τῇ θαλάσσῃ· ὅτι
descendit diabolus ad vos, habens *animum magnum*, sciens quòd
κατέβη ὁ διάβολος πρὸς ὑμᾶς, ἔχων θυμὸν μέγαν, εἰδὼς ὅτι
modicum tempus habet. Et *cùm vidit* draco quòd proiectus esset in terrã,
13 ὀλίγον καιρὸν ἔχει. καὶ ὅτε εἶδεν ὁ δράκων ὅτι ἐβλήθη εἰς γῆν,

Margin: ‖amen. · ‖qui · sedent · ‖sedibus · ‖es, · eras, · es, · ὀργίζομαι · pusillis, · ‖exterminandi eos qui corruperunt · ὀπτομαι · eius · terræmotus, · ‖apparuit, · clamat parturiens, & cruciatur vt pariat. · ‖quæ erat paritura, · eius · τίκτω · ‖recturus · ἁρπάζω · habebat · magnum · præliabantur · valuerunt, · eorum · qui vocatur · qui seducit vniuersum orbem: · missi · καταβάλλομαι · qui accusabat · animas suas · Propterea · qui habitatis. · iram magnã, · postquam

persecutus est mulierem, quæ peperit masculum. Et datæ sunt
ἐδίωξε τὴν γυναῖκα, ἥτις ἔτεκε τὸν ἄρρενα. καὶ ἐδόθησαν τῇ 14
mulieri duæ alæ aquilæ magnæ, vt volaret in
γυναικὶ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν
desertum in locum suum, vbi alitur illic tempus, & tempora,
ἔρημον εἰς τὸν τόπον αὐτῆς, ὅπως τρέφηται ἐκεῖ καιρὸν, καὶ καιροὺς,
& dimidium temporis à facie serpentis. Et emisit serpens
καὶ ἥμισυ καιροῦ, ἀπὸ προσώπου τοῦ ὄφεως. καὶ ἔβαλεν ὁ ὄφις 15
ex ore suo post mulierem, aquam tanquam flumen,
ἐκ τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς, ὕδωρ ὡς ποταμὸν,
vt eam fluminetrahi faceret. Et adiuuit terra mu-
ἵνα αὐτὴν ποταμοφόρητον ποιήσῃ. καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυ- 16
lierem, & aperuit terra os suum, & absorbuit flu-
ναικὶ, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ κατέπιε τὸν ποτα-
men quod misit draco de ore suo. Et iratus est
μὸν ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ. καὶ ὠργίσθη 17
draco in mulierem, & abiit facere prælium
ὁ δράκων ἐπὶ τῇ γυναικὶ, καὶ ἀπῆλθε ποιῆσαι πόλεμον
cum reliquis seminis eius, custodientibus
μετὰ τῶν λοιπῶν τοῦ σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς
mandata Dei, & habentibus testimonium Christi.
ἐντολὰς τοῦ θεοῦ, καὶ ἐχόντων τὴν μαρτυρίαν τοῦ ἰησοῦ.
Et stetit supra arenam maris.
καὶ ἐστάθην ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης. 18

a τίκτω; per; a trahi; b καταπίνω; de semine; qui custodiūt; habent

CAP. XIII. ιγʹ

Et vidi de mari bestiam ascendentem, habentem cornua
Καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον, ἔχον κέρατα 1
decem, & capita septem, & super cornua eius decem diade-
δέκα, καὶ κεφαλὰς ἑπτὰ, καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδή-
mata, & super capita eius nomina blasphemiæ.
ματα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὀνόματα βλασφημίας·
Et bestia quam vidi, erat similis pardo, & pedes eius
καὶ τὸ θηρίον ὃ εἶδον, ἦν ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ 2
sicut vrsi, & os eius sicut os leonis. & dedit illi
ὡς ἄρκτου, καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος. καὶ ἔδωκεν αὐτῷ
draco virtutem suam, & thronum suum, & potestatem
ὁ δράκων τὴν δύναμιν αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ, καὶ ἐξουσίαν
magnam. Et vnum de capitibus suis quasi ca-
μεγάλην. καὶ μίαν ἐκ τῶν κεφαλῶν αὐτοῦ ὡσεὶ ἐσφαγμέ- 3
sum in mortem: & plaga mortis eius curata est:
νην εἰς θάνατον· καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη·
& admirata est vniuersa terra post bestiam: & adorauerunt
καὶ ἐθαύμασεν ὅλη ἡ γῆ ὀπίσω τοῦ θηρίου· καὶ προσεκύνησαν
draconem, qui dedit potestatem bestiæ. Et ado-
τῷ δράκοντι τῷ δεδωκότι τὴν ἐξουσίαν τῷ θηρίῳ. καὶ προσ- 4
rauerunt bestiam, dicentes, Quis similis bestiæ? & quis
εκύνησαν τῷ θηρίῳ, λέγοντες, τίς ὅμοιος τῷ θηρίῳ; καὶ τίς
potens pugnare cum ea? & datum est ei os loquens
δυνατὸς πολεμῆσαι μετ' αὐτοῦ; καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν
magna, & blasphemiam. Et data est ei potestas bel-
μεγάλα, καὶ βλασφημίαν. καὶ ἐδόθη αὐτῷ ἐξουσία πόλε- 5
lum facere menses quadraginta duos. Et aperuit os
μον ποιῆσαι μῆνας τεσσαράκοντα δύο. καὶ ἤνοιξε τὸ στόμα 6
suum in blasphemiam ad Deum, blasphemare nomen
αὐτοῦ εἰς βλασφημίαν πρὸς τὸν θεὸν, βλασφημῆσαι τὸ ὄνομα
eius, & tabernaculum eius, & in cælo habitantes.
αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ τοὺς ἐν τῷ οὐρανῷ σκηνοῦντας.
Et datum est illi facere bellum cum sanctis, & vincere
καὶ ἐδόθη αὐτῷ ποιῆσαι πόλεμον μετὰ τῶν ἁγίων, καὶ νικῆσαι 7
eos. & data est illi potestas in omnem tribum, & lin-
αὐτούς· καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν, καὶ γλῶσ-
guam, & gentem. Et adorabunt eam omnes ha-
σαν, καὶ ἔθνος. καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ κατοι- 8
bitantes super terram, quorū non scriptum est nomen in libro
κοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὸ ὄνομα ἐν τῷ βιβλίῳ
vitæ Agni mactati à fundatione mundi.
τῆς ζωῆς τοῦ ἀρνίου τοῦ ἐσφαγμένου, ἀπὸ καταβολῆς κόσμου.
Si quis habet aurem, audiat. Si quis habet captiuitatem, va-
εἴ τις ἔχει οὖς, ἀκουσάτω. εἴ τις ἔχει αἰχμαλωσίαν, ὑπά- 9
dit: si quis in gladio occiderit, oportet eum in gladio oc- 10
γει· εἴ τις ἐν μαχαίρᾳ ἀποκτενεῖ, δεῖ αὐτὸν ἐν μαχαίρᾳ ἀπο-
cidi. hîc est patientia, & fides sanctorum.
κτανθῆναι. ὧδέ ἐστιν ἡ ὑπομονὴ, καὶ ἡ πίστις τῶν ἁγίων.
Et vidi aliam bestiam ascendentem de terra, & habebat cornua
καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχε κέρατα 11
duo, similia agno, & loquebatur sicut draco. Et potestatem
δύο ὅμοια ἀρνίῳ, καὶ ἐλάλει ὡς δράκων· καὶ τὴν ἐξουσίαν τοῦ 12
prioris bestiæ omnem facit in conspectu eius, & fecit terram
πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ, καὶ ἐποίει τὴν γῆν
& in ea habitantes, vt adorent bestiam
καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας, ἵνα προσκυνήσωσι τὸ θηρίον
primam, cuius curata est plaga mortis eius.
τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ.
Et facit signa magna, & ignem, vt de cælo descen-
καὶ ποιεῖ σημεῖα μεγάλα, καὶ πῦρ, ἵνα ἐκ τοῦ οὐρανοῦ κατα- 13
deret in terram, in conspectu hominum: Et seducit
βαίνῃ ἐπὶ τὴν γῆν, ἐνώπιον τῶν ἀνθρώπων· καὶ πλανᾷ τοὺς 14
meos habitantes in terra, propter signa, quæ data sunt
ἐμοὺς τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, διὰ τὰ σημεῖα, ἃ ἐδόθη

vidi; occisum; c δίδωμι; poterit; blasphemias.; blasphemias; eos qui habitant.; & populum,; adorauerunt; qui inhabitāt; sunt scripta nomina; qui occisus est ab origine; Qui in duxerit, in captiuitatem; qui; agni,; faciebat; adorare; d θεραπεύω; fecit; vt etiam faceret; descendere

illi facere in conspectu bestiæ, dicens habitantibus in
αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου, λέγων τοῖς κατοικοῦσιν ἐπὶ
terra, facere imaginem bestiæ, quæ habuit plagam gla-
τῆς γῆς, ποιῆσαι εἰκόνα τῷ θηρίῳ, ὃ εἶχε τὴν πληγὴν τῆς μα-
dij, & vixit. Et datum est illi spiritum dare imagini
χαίρας, καὶ ἔζησε. καὶ ἐδόθη αὐτῷ πνεῦμα δοῦναι τῇ εἰκόνι 15
bestiæ, & vt loquatur imago bestiæ, & facit non ado-
τοῦ θηρίου, καὶ ἵνα λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου, καὶ ποιεῖ τοὺς μὴ προσ-
rantes imaginem bestiæ, vt occidantur. Et facit
κυνοῦντας τῇ εἰκόνι τοῦ θηρίου, ἵνα ἀποκτανθῶσι. καὶ ποιεῖ 16
omnes paruos, & magnos, & diuites, &
πάντας τοὺς μικροὺς, καὶ τοὺς μεγάλους, καὶ τοὺς πλουσίους, καὶ
pauperes, & liberos, & seruos, vt dent il-
τοὺς πτωχοὺς, καὶ τοὺς ἐλευθέρους, καὶ τοὺς δούλους, ἵνα δώσιν αὐ-
lis characteres in manu eorum dextera, aut in
τοῖς χαράγματα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ ἐπὶ τῶν
frontibus eorum. Et ne quis possit emere aut ven-
μετώπων αὐτῶν. καὶ ἵνα μή τις δύνηται ἀγοράσαι ἢ πω- 17
dere, si non habens characterem, aut nomen bestiæ, aut
λῆσαι, εἰ μὴ ὁ ἔχων τὸ χάραγμα, ἢ τὸ ὄνομα τοῦ θηρίου, ἢ
numerum nominis eius. Hîc sapientia est. habens
τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ. ὧδε ἡ σοφία ἐστίν. ὁ ἔχων 18
mentem, computet numerum bestiæ. numerus enim ho-
νοῦν, ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ ἀνθρώ-
minis est, & numerus eius est sexcenti sexaginta sex.
που ἐστὶ, καὶ ὁ ἀριθμὸς αὐτοῦ ἐστὶν ἑξακόσιοι ἑξήκοντα ἕξ.

vt faciant; habet; vt daret; faciat vt quicunque non adorauerint; faciet; pusillos,; habere; characterem; sua; suis.; nisi qui habeat; qui habet intellectum,; e ψηφίζομαι

CAP. XIIII. ιδʹ

Et vidi, & ecce Agnus stans supra montem Sion, & cum
Καὶ εἶδον, καὶ ἰδοὺ ἀρνίον ἑστηκὸς ἐπὶ τὸ ὄρος σιὼν, καὶ μετ' 1
eo centum quadraginta quatuor millia, habentes no-
αὐτοῦ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, ἔχουσαι τὸ ὄνο-
men eius & nomen Patris eius scriptum in
μα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν
frontibus suis. Et audiui vocem de cælo, tanquam vocem
μετώπων αὐτῶν. καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν 2
aquarum multarum, & tanquā vocem tonitrui magni: & vox
ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ ἡ φωνὴ
quam audiui, sicut citharœdorum citharizantium in citharis suis:
ἣν ἤκουσα, ὡς κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν·
Et cantabant canticum nouum ante thronum, & ante
καὶ ᾄδουσιν ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν 3
quatuor animalia, & seniores: & nemo poterat dis-
τεσσάρων ζώων, καὶ τῶν πρεσβυτέρων. καὶ οὐδεὶς ἐδύνατο μα-
cere canticum, nisi illa centum quadraginta quatuor mil-
θεῖν τὴν ᾠδὴν, εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιά-
lia, empti de terra. Hi sunt qui cum mulie-
δες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς. οὗτοί εἰσιν οἳ μετὰ γυναι- 4
ribus non sunt coinquinati: virgines enim sunt. hi sunt se-
κῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν· οὗτοί εἰσιν οἱ ἀκο-
quentes Agnum quocūque enim ierit. hi à Iesu em-
λουθοῦντες τῷ ἀρνίῳ· ὅπου γὰρ ἂν ὑπάγῃ· οὗτοι ὑπὸ ἰησοῦ ἠγο-
pti sunt ex hominibus primitiæ Deo & Agno.
ράσθησαν ἀπὸ τῶν ἀνθρώπων ἀπαρχὴ τῷ θεῷ καὶ τῷ ἀρνίῳ.
Et in ore eorum non est inuētum mendaciū: sine macula enim sunt.
καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη ψεῦδος· ἄμωμοι γάρ εἰσι. 5
Et vidi alterum angelum volantem in medio cæli, ha-
καὶ εἶδον ἄλλον ἄγγελον πετόμενον ἐν μεσουρανήματι, ἔχον- 6
bentem euangelium æternum, euangelizare sedentibus super
τα εὐαγγέλιον αἰώνιον, εὐαγγελίσαι τοὺς καθημένους ἐπὶ τῆς
terram, & super omnem gentem, & tribum, & linguam, & populū,
γῆς, καὶ ἐπὶ πᾶν ἔθνος, καὶ φυλὴν, καὶ γλῶσσαν, καὶ λαὸν,
dicens in voce magna, Timete Deum, & date illi
λέγων ἐν φωνῇ μεγάλῃ, φοβήθητε τὸν θεὸν, καὶ δότε αὐτῷ 7
gloriam, quia venit hora iudicii eius: & adorate
δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ· καὶ προσκυνήσατε
eum qui fecit cælum, & terram, & mare, & fontes
τῷ ποιήσαντι τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πηγὰς
aquarum. Et alius angelus secundus secutus est, dicens,
ὑδάτων. καὶ ἄλλος ἄγγελος δεύτερος ἠκολούθησε, λέγων, 8
Cecidit, cecidit Babylon illa magna: ex vino iræ
ἔπεσεν ἔπεσε βαβυλὼν ἡ μεγάλη· ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς
fornicationis suæ potauit omnes gentes. Et alius angelus
πορνείας αὐτῆς πεπότικε πάντα τὰ ἔθνη. καὶ ἄλλος ἄγγελος 9
tertius secutus est illos, dicens in voce magna, Si quis
τρίτος ἠκολούθησεν αὐτοῖς, λέγων ἐν φωνῇ μεγάλῃ, εἴ τις
adorauerit bestiam, & imaginem eius, & acceperit
προσκυνεῖ τὸ θηρίον, καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει
characterem in fronte sua, aut in manu sua:
χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ, ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ·
Et hic bibet de vino iræ Dei, mixto
καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ θεοῦ, τοῦ κεκερασμένου 10
mero in poculo iræ ipsius, & cruciabitur in
ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ, καὶ βασανισθήσεται ἐν
igne & sulphure in conspectu sanctorum angelorum, & ante cōspectum Agni.
πυρὶ καὶ θείῳ ἐνώπιον τῶν ἁγίων ἀγγέλων, καὶ ἐνώπιον τοῦ ἀρνίου.
Et fumus cruciatus eorum in secula seculorum ascen-
καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν εἰς αἰῶνας αἰώνων ἀνα- 11
dit, & non habent requiem die ac nocte ado-
βαίνει, καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτὸς οἱ προσκυ-

stabat; vocem; quasi sedem.; qui sunt; sequuntur; f ἀγοράζω; ante thronum Dei.; per medium; vt euangelizaret; Dominum,; g φοβέομαι; honorem:; & omnia quæ in eis sunt,; quæ à; quod mixtum est; g κεράννυμι; calice; a βασανίζομαι; tormentorum; ascendet, nec; qui adorauerunt

rantes bestiam, & imaginem eius: & si quis acceperit
νοῦντες τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ εἴ τις λαμβάνει τὸ
characterem nominis eius. Hîc patientia sanctorum est:
χάραγμα τοῦ ὀνόματος αὐτοῦ. ὧδε ὑπομονὴ τῶν ἁγίων ἐστίν· 12
hic custodientes mandata Dei, & fidem Iesu.
ὧδε οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ θεοῦ, καὶ τὴν πίστιν τοῦ Ἰησοῦ.
Et audiui vocem de cælo, dicentem mihi, Scribe, Bea-
13 καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ, λεγούσης μοι, γράψον, μα-
ti mortui, in Domino morientes. amodò dicit
κάριοι οἱ νεκροὶ, οἱ ἐν κυρίῳ ἀποθνήσκοντες. ἀπάρτι λέγει
etiam Spiritus, vt requiescant à laboribus suis: at
ναὶ τὸ πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν· τὰ δὲ
opera illorum sequuntur cum ipsis. Et vidi, & ecce nubes
14 ἔργα αὐτῶν ἀκολουθεῖ μετ᾽ αὐτῶν. καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη
alba, & super nubem sedens similis Filio hominis, habens
λευκὴ, καὶ ἐπὶ τὴν νεφέλην καθήμενος ὅμοιος υἱῷ ἀνθρώπου, ἔχων
in capite suo coronam auream, & in manu sua
ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ
falcem acutam. Et alius angelus exiuit de templo, cla-
15 δρέπανον ὀξύ. καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ, κρά-
mans in voce magna sedenti super nubem: Mitte
ζων ἐν φωνῇ μεγάλῃ τῷ καθημένῳ ἐπὶ τῆς νεφέλης· πέμψον
falcem tuam, & mete, quia venit hora metendi: quoniã
τὸ δρέπανόν σου, καὶ θέρισον, ὅτι ἦλθεν ἡ ὥρα τοῦ θερίσαι. ὅτι
aruit messis terræ. Et misit sedens super
16 ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς. καὶ ἔβαλεν ὁ καθήμενος ἐπὶ τὴν
nubem, falcem suam in terram, & demessa est terra.
νεφέλην, τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἐθερίσθη ἡ γῆ.
Et alius angelus exiuit de tẽplo quod est in cælo, habens
17 καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν τῷ οὐρανῷ, ἔχων
& ipse falcem acutam. Et alius angelus exiuit de
18 καὶ αὐτὸς δρέπανον ὀξύ. καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ
altari, habens potestatem supra ignem, & clamauit clamore
θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρὸς, καὶ ἐφώνησε κραυγῇ
magno habenti falcem acutam, dicens, Mitte tuam
μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξὺ, λέγων, πέμψον σου τὸ
falcem acutam, & vindemia botros vineæ terræ:
δρέπανον τὸ ὀξὺ, καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου τῆς γῆς·
quoniã maturæ sunt vuæ eius. Et misit angelus
19 ὅτι ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς. καὶ ἔβαλεν ὁ ἄγγελος τὸ
falcem suam in terram, & vindemiauit vineam terræ, &
δρέπανον αὐτοῦ εἰς τὴν γῆν, καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς, καὶ
misit in lacum iræ Dei magnum. Et calcatus est
20 ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ θεοῦ τὸν μεγάλην. καὶ ἐπατήθη ἡ
lacus extra ciuitatem, & exiuit sanguis de lacu vsque ad
ληνὸς ἔξωθεν τῆς πόλεως, καὶ ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ ἄχρι
frenos equorum à stadiis mille sexcentis.
τῶν χαλινῶν τῶν ἵππων ἀπὸ σταδίων χιλίων ἑξακοσίων.

Marginalia: qui custodiũt — qui morientur. — iam — enim illos. — nubẽ candidã, sedentem similem — habentem — ad sedentem — vt metatur: — qui sedebat — θερίζω — est — qui habebat — voce magna ad eum qui habebat — ἀκμάζω — acutam — τρυγάω — καλέομαι — τὸν μέγαν. — per stadia — sexcenta.

CAP. XV. ιε´

Et vidi aliud signum in cælo magnum & mirabile:
1 Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστὸν,
angelos septem, habentes plagas septem nouissimas: quoniam in illis
ἀγγέλους ἑπτὰ, ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας· ὅτι ἐν αὐταῖς
consummata est ira Dei. Et vidi tanquam mare vitreum
2 ἐτελέσθη ὁ θυμὸς τοῦ θεοῦ. καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην
igne mistum, & vincentes ex bestia, & ex ima-
πυρὶ μεμιγμένην, καὶ τοὺς νικῶντας ἐκ τοῦ θηρίου, καὶ ἐκ τῆς εἰ-
gine eius, & ex numero nominis eius, stantes super
κόνος αὐτοῦ, καὶ ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ, ἑστῶτας ἐπὶ
mare vitreum, habentes citharas Dei. Et cantant
3 τὴν θάλασσαν τὴν ὑαλίνην, ἔχοντας κιθάρας τοῦ θεοῦ. καὶ ᾄδουσι
canticum Moysi serui Dei, & canticum Agni, di-
τὴν ᾠδὴν Μωσέως τοῦ δούλου τοῦ θεοῦ, καὶ τὴν ᾠδὴν τοῦ ἀρνίου, λέ-
centes, Magna & mirabilia opera tua, Domine Deus om-
γοντες, μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, κύριε ὁ θεὸς ὁ παν-
nipotens: iustæ & veræ viæ tuæ, rex
τοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ βασιλεὺς τῶν
gentium. Quis non timebit te, Domine, & glorificabit nomen tuum?
4 ἐθνῶν. τίς οὐ μὴ φοβηθῇ σε, κύριε, καὶ δοξάσῃ τὸ ὄνομά σου;
quia solus sanctus es: quoniam omnes gentes venient, & adora-
ὅτι μόνος ἅγιος εἶ· ὅτι πάντα τὰ ἔθνη ἥξουσι καὶ προσκυνή-
bunt in conspectu tuo, quoniam iudicia tua manifesta sunt.
σουσιν ἐνώπιόν σου, ὅτι τὰ δικαιώματά σου ἐφανερώθησαν.
Et post hæc vidi, & apertum est templum tabernaculi testi-
5 καὶ μετὰ ταῦτα εἶδον, καὶ ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρ-
monij in cælo. Et exierunt septem angeli, haben-
6 τυρίου ἐν τῷ οὐρανῷ. καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι οἱ ἔχον-
tes septem plagas, de cælo, qui erant vestiti linum,
τες τὰς ἑπτὰ πληγὰς, ἐκ τοῦ οὐρανοῦ, οἳ ἦσαν ἐνδεδυμένοι λίνον,
& purum, & splendidum, & præcincti circa pectora
καὶ καθαρὸν, καὶ λαμπρὸν, καὶ περιεζωσμένοι περὶ τὰ στήθη
zonis aureis. Et vnum de quatuor animalibus dedit
7 ζώνας χρυσᾶς. καὶ ἓν ἐκ τῶν τεσσάρων ζώων ἔδωκε τοῖς
septem angelis septem phialas aureas, plenas iracundiæ
ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς, γεμούσας τοῦ θυμοῦ τοῦ
Dei viuentis in secula seculorum. Et impletum est
8 θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ ἐγεμίσθη ὁ
templum fumo ex gloria Dei, & de virtute
ναὸς καπνοῦ ἐκ τῆς δόξης τοῦ θεοῦ, καὶ ἐκ τῆς δυνάμεως
eius: & nemo poterat introire in templum, donec con-
αὐτοῦ· καὶ οὐδεὶς ἠδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν, ἄχρι τελε-
summarentur septem plagæ angelorum.
σθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἀγγέλων.

Marginalia: eos qui vicerunt bestiam & imaginem — μίγνυμι — numerum — cantantes — sunt — seculorum. — magnificabit — pius — ecce — templo, — lapide mundo & candido, — περιζώννυμι καὶ περιζωννύω — γεμίζομαι — à maiestate — septem

CAP. XVI. ιϛ´

Et audiui vocem magnam de templo, dicentem septem
1 Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ ναοῦ, λεγούσης τοῖς ἑπτὰ
angelis, Ite, effundite phialas iræ Dei
ἀγγέλοις, ὑπάγετε, ἐκχέατε τὰς φιάλας τοῦ θυμοῦ τοῦ θεοῦ
in terram. Et abiit primus, & effudit phialam
2 εἰς τὴν γῆν. καὶ ἀπῆλθεν ὁ πρῶτος, καὶ ἐξέχεε τὴν φιάλην
suam in terram: & factum est vulnus malum & malignum in
αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ ἐγένετο ἕλκος κακὸν καὶ πονηρὸν εἰς τοὺς
homines habentes characterem bestiæ, & ado-
ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς προσ-
rantes imaginem eius. Et secundus angelus effudit
3 κυνοῦντας τῇ εἰκόνι αὐτοῦ. καὶ ὁ δεύτερος ἄγγελος ἐξέχεε
phialam suam in mare: & factus est sanguis tanquã mor-
τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν· καὶ ἐγένετο αἷμα ὡς νε-
tui, & omnis anima viuens mortua est in mari. Et
4 κροῦ, καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν ἐν τῇ θαλάσσῃ. καὶ ὁ
tertius angelus effudit phialam suam in flumina &
τρίτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ
fontes aquarum: & factus est sanguis. Et audiui an-
5 τὰς πηγὰς τῶν ὑδάτων· καὶ ἐγένετο αἷμα. καὶ ἤκουσα τοῦ ἀγ-
gelum aquarum dicentem, Iustus es, qui existens, & qui erat, sanctus,
γέλου τῶν ὑδάτων λέγοντος, δίκαιος εἶ, ὁ ὢν, καὶ ὁ ἦν, ὁ ὅσιος,
quia hæc iudicasti. Quia sanguinẽ sanctorum & prophetarum effuderunt,
6 ὅτι ταῦτα ἔκρινας. ὅτι αἷμα ἁγίων καὶ προφητῶν ἐξέχεαν,
& sanguinem eis dedisti bibere: digni sunt. Et audiui de
7 καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν· ἄξιοι εἰσί. καὶ ἤκουσα ἐκ τοῦ
altari, dicentem, Etiam Domine Deus omnipotens, ve-
θυσιαστηρίου, λέγοντος, ναὶ κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ἀ-
ra & iusta iudicia tua. Et quartus angelus
8 ληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου. καὶ ὁ τέταρτος ἄγγελος
effudit phialam suam in solem: & datum est ei æstu
ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἥλιον· καὶ ἐδόθη αὐτῷ καυ-
affligere homines in igni. Et æstuauerunt
9 ματίσαι τοὺς ἀνθρώπους ἐν πυρί. καὶ ἐκαυματίσθησαν οἱ
homines æstu magno, & blasphemauerunt homines
ἄνθρωποι καῦμα μέγα, καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸ
nomen Dei habentis potestatem super plagas
ὄνομα τοῦ θεοῦ τοῦ ἔχοντος τὴν ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύ-
has: & non egerunt pœnitentiã dare illi gloriam. Et quintus
10 τας· καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν. καὶ ὁ πέμπτος
angelus effudit phialam suam super thronum bestiæ:
ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον τοῦ θηρίου·
& factum est regnum eius tenebrosum, & mandebant
καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη, καὶ ἐμασσῶντο τὰς
linguas suas ex labore: Et blasphemauerunt Deum
11 γλώσσας αὐτῶν ἐκ τοῦ πόνου· καὶ ἐβλασφήμησαν τὸν θεὸν
cæli ex laboribus suis, & ex vulneribus suis, & non egerũt
τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν, καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν, καὶ οὐ με-
pœnitentiam ex operibus suis. Et sextus angelus effudit
12 τενόησαν ἐκ τῶν ἔργων αὐτῶν. καὶ ὁ ἕκτος ἄγγελος ἐξέχεε
phialam suam in flumen illud magnum Euphraten: & exic-
τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ποταμὸν τὸν μέγαν Εὐφράτην· καὶ ἐξη-
cata est aqua eius vt prepararetur via regum
ράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων τῶν
ab ortu solis. Et vidi de ore draconis,
13 ἀπὸ ἀνατολῶν ἡλίου. καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκοντος,
& de ore bestiæ, & de ore pseudopprophe-
καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου, καὶ ἐκ τοῦ στόματος τοῦ ψευδοπροφή-
tæ spiritus tres immundos vt ranæ. Sunt enim spi-
14 του πνεύματα τρία ἀκάθαρτα ὡς βάτραχοι. εἰσὶ γὰρ πνεύ-
ritus dæmoniorum facientes signa, quæ procedunt ad
ματα δαιμόνων ποιοῦντα σημεῖα, ἃ ἐκπορεύεται ἐπὶ τοὺς
reges habitatæ totius: congregare illos in præ-
βασιλεῖς τῆς οἰκουμένης ὅλης, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλε-
lium diei illius magnæ Dei omnipotentis.
μον τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης τοῦ θεοῦ τοῦ παντοκράτορος.
Ecce venio sicut fur: beatus vigilans, & custodiens
15 ἰδοὺ ἔρχομαι ὡς κλέπτης· μακάριος ὁ γρηγορῶν καὶ τηρῶν
vestimenta sua, ne nudus ambulet, & videant
τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπατῇ, καὶ βλέπωσι τὴν
turpitudinem eius. Et congregauit illos in locum illum vo-
16 ἀσχημοσύνην αὐτοῦ. καὶ συνήγαγεν αὐτοὺς εἰς τόπον τὸν κα-
catum Hebraicè Armagedon. Et septimus angelus ef-
17 λούμενον ἑβραϊστὶ Ἀρμαγεδών. καὶ ὁ ἕβδομος ἄγγελος ἐξέ-
fudit phialam suam in aërem: & exiuit vox magna
χεε τὴν φιάλην αὐτοῦ εἰς τὸν ἀέρα· καὶ ἐξῆλθε φωνὴ μεγάλη
de templo cæli, à throno, dicens, Factum est.
ἀπὸ τοῦ ναοῦ τοῦ οὐρανοῦ, ἀπὸ τοῦ θρόνου, λέγουσα, γέγονε.
Et facta sunt tonitrua, & fulgura, & voces, & terræmotus
18 καὶ ἐγένοντο ἀστραπαὶ, καὶ βρονταὶ, καὶ φωναὶ, καὶ σεισμὸς
factus est magnus, qualis non factus est ex quo homines facti sunt
ἐγένετο μέγας, οἷος οὐκ ἐγένετο ἀφ᾽ οὗ οἱ ἄνθρωποι ἐγένοντο
super terram, talis terræmotus, sic magnus. Et facta est
ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτω μέγας. καὶ ἐγένετο ἡ

Marginalia: & septem — ἐκχέω — sæuum & pessimum — qui habebant — in eos qui adorauerunt — super — Domine, es, eras, — enim — καυματίζω — & — neque — vt darent — sedem — commanducauerunt — σκοτόομαι — præ dolore, — præ doloribus — siccauit aquã — regibus — in modum ranarum. — exire — & — terræ — ad diem magnum — qui vigilat, — custodit — qui vocatur — nunquã fuit — fuerant

ciuitas magna in tres partes, & ciuitates Gentium ceciderunt.
πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν ἐθνῶν ἔπεσον·
& Babylon magna venit in memoriam ante Deum, dare illi
καὶ βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ θεοῦ, δοῦναι αὐτῇ
poculum vini indignationis iræ eius. Et omnis insula
τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ. καὶ πᾶσα νῆσος 20
fugit, & montes non sunt inuenti. Et grando magna sicut
ἔφυγε, καὶ ὄρη οὐχ εὑρέθησαν. καὶ χάλαζα μεγάλη ὡς 21
talentaria descendit de cœlo in homines,
ταλαντιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους,
& blasphemauerunt homines Deum ex plaga
καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν θεὸν ἐκ τῆς πληγῆς τῆς
grandinis: quoniam magna est plaga eius vehementer.
χαλάζης· ὅτι μεγάλη ἐστὶν ἡ πληγὴ αὐτῆς σφόδρα.

μνάομαι / calicem / talentum / propter plagā / facta

CAP. XVII. ιζ´

Et venit vnus de septem angelis habentibus septem phia-
1 Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιά-
las, & locutus est mecum, dicens, Veni, ostendam tibi damnationem
λας, καὶ ἐλάλησε μετ' ἐμοῦ, λέγων, δεῦρο, δείξω σοι τὸ κρίμα
meretricis magnæ, sedentis super aquas multas:
τῆς πόρνης τῆς μεγάλης, τῆς καθημένης ἐπὶ τῶν ὑδάτων τῶν πολλῶν·
Cum qua fornicati sunt reges terræ, & inebriati sunt
2 μεθ' ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐμεθύσθησαν οἱ
habitantes terram de vino fornicationis eius. Et abstu-
κατοικοῦντες τὴν γῆν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς. καὶ ἀπήνεγ- 3
lit me in desertum in spiritu: & vidi mulierem sedentem
κέ με εἰς ἔρημον ἐν πνεύματι· καὶ εἶδον γυναῖκα καθημένην
super bestiam coccineam, plenam nominibus blasphemiæ, habentem ca-
ἐπὶ θηρίον κόκκινον, γέμον ὀνομάτων βλασφημίας, ἔχον κε-
pita septem, & cornua decem. Et mulier circumdata
φαλὰς ἑπτὰ, καὶ κέρατα δέκα. καὶ ἡ γυνὴ ἡ περιβεβλημέ- 4
purpura & coccino: inaurata auro, & lapide pretioso,
νη πορφύρᾳ καὶ κοκκίνῳ, κεχρυσωμένη χρυσῷ, καὶ λίθῳ τιμίῳ,
& margaritis, habens aureum poculum in manu sua,
καὶ μαργαρίταις, ἔχουσα χρυσοῦν ποτήριον ἐν τῇ χειρὶ αὐ-
plenum abominationibus, & immunda fornicationis sue.
τῆς, γέμον βδελυγμάτων, καὶ τὰ ἀκαθάρτητα τῆς πορνείας αὐτῆς.
Et in fronte eius nomen scriptum, Mysterium,
καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμένον, μυστήριον, 5
Babylon magna, mater fornicationum & abominationum
βαβυλὼν ἡ μεγάλη ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυγμάτων τῆς
terræ. Et vidi mulierem ebriam de sanguine san-
γῆς. καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ τοῦ αἵματος τῶν ἁ- 6
ctorum, & de sanguine martyrum Iesu. & miratus sum
γίων, καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ. καὶ ἐθαύμασα
videns illam, admiratione magnam. Et dixit mihi angelus, Quare
ἰδὼν αὐτὴν θαῦμα μέγα. καὶ εἶπέ μοι ὁ ἄγγελος, διατί 7
miraris? ego tibi dicam mysterium mulieris, & be-
ἐθαύμασας; ἐγώ σοι ἐρῶ τὸ μυστήριον τῆς γυναικὸς, καὶ τοῦ θη-
stiæ portantis eam, habentis septem capita, &
ρίου τοῦ βαστάζοντος αὐτὴν, τοῦ ἔχοντος τὰς ἑπτὰ κεφαλὰς, καὶ
decem cornua. Bestia quam vidisti, erat, & non est, & futura est
τὰ δέκα κέρατα. τὸ θηρίον ὃ εἶδες, ἦν, καὶ οὐκ ἔστι, καὶ μέλλει 8
ascendere de abysso, & in interitum abire: &
ἀναβαίνειν ἐκ τῆς ἀβύσσου, καὶ εἰς ἀπώλειαν ὑπάγειν· καὶ
mirabuntur habitantes super terram (quorum non sunt scripta
θαυμάσονται οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὰ
nomina in libro vitæ a constitutione mundi)
ὀνόματα ἐπὶ τὸ βιβλίον τῆς ζωῆς ἀπὸ καταβολῆς κόσμου,
videntes bestiam, quæ erat, & non est, & adsit.
βλέποντες τὸ θηρίον, ὅ, τι ἦν, καὶ οὐκ ἔστι, καὶ πάρεστιν.
Hic sensus, habens sapientiam. Septem capita, septem montes sunt,
ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν. αἱ ἑπτὰ κεφαλαὶ, ἑπτὰ ὄρη εἰσὶν, 9
vbi mulier sedet super eos, & reges septem sunt.
ὅπου ἡ γυνὴ κάθηται ἐπ' αὐτῶν, καὶ βασιλεῖς ἑπτά εἰσιν.
Quinque ceciderunt, vnus est, alius nondum venit: & cùm ve-
οἱ πέντε ἔπεσον, ὁ εἷς ἔστιν, ὁ ἄλλος οὔπω ἦλθε· καὶ ὅταν ἔλ- 10
nerit, paululum illum oportet manere. Et bestia quæ erat, & non
θῃ, ὀλίγον αὐτὸν δεῖ μεῖναι. καὶ τὸ θηρίον ὃ ἦν, καὶ οὐκ 11
est, & ipse octauus est, & de septem est, & in interitum
ἔστι, καὶ αὐτὸς ὄγδοός ἐστι, καὶ ἐκ τῶν ἑπτά ἐστι, καὶ εἰς ἀπώλειαν
vadit. Et decem cornua quæ vidisti, decem reges sunt,
ὑπάγει. καὶ τὰ δέκα κέρατα ἃ εἶδες, δέκα βασιλεῖς εἰσιν, 12
qui regnum nondum acceperunt, sed potestatem tanquam reges vnam
οἵτινες βασιλείαν οὔπω ἔλαβον, ἀλλ' ἐξουσίαν ὡς βασιλεῖς μίαν
horam accipient post bestiam. Hi vnum consilium habent, &
ὥραν λαμβάνουσι μετὰ τοῦ θηρίου. οὗτοι μίαν γνώμην ἔχουσι, καὶ 13
virtutem & potestatem suam bestiæ tradent.
τὴν δύναμιν καὶ τὴν ἐξουσίαν αὐτῶν τῷ θηρίῳ διδόασιν.
Hi cum Agno pugnabunt, & Agnus vincet illos:
οὗτοι μετὰ τοῦ ἀρνίου πολεμήσουσι, καὶ τὸ ἀρνίον νικήσει αὐτούς· 14
quoniā Dominus dominorū est, & rex regum. & qui cum illo,
ὅτι κύριος κυρίων ἐστὶ, καὶ βασιλεὺς βασιλέων· καὶ οἱ μετ' αὐτοῦ,
vocati, & electi, & fideles. Et dixit mihi, Aquæ quas vi-
κλητοὶ, καὶ ἐκλεκτοὶ, καὶ πιστοί. καὶ λέγει μοι, τὰ ὕδατα ἃ εἶ- 15
disti vbi meretrix sedet, populi & turbæ sunt, & gentes, & lin-
δες οὗ ἡ πόρνη κάθηται, λαοὶ καὶ ὄχλοι εἰσὶ, καὶ ἔθνη, καὶ γλῶσ-
guæ. Et decem cornua quæ vidisti, & bestia, hi
σαι. καὶ τὰ δέκα κέρατα ἃ εἶδες, καὶ τὸ θηρίον, οὗτοι μι- 16

habebant / quæ sedet / μεθύομαι / qui inhabitāt / prostitutionis / erat / & / abominatione / immunditia / eius / cum viderem / sacramentum / quæ portat / quæ habet / fuit / ascensura est / ibit / inhabitantes / Et / est, qui habet / super quos / & / breue tempus / ipsa octaua / sunt / sunt

odient fornicariam, & desolatam facient illam, &
σήσουσι τὴν πόρνην, καὶ ἠρημωμένην ποιήσουσιν αὐτὴν, καὶ
nudam facient illam, & carnes eius manducabunt, &
γυμνὴν ποιήσουσιν αὐτὴν, καὶ τὰς σάρκας αὐτῆς φάγονται, καὶ
ipsam concremabunt in igni. Nam Deus dedit in cor-
αὐτὴν κατακαύσουσιν ἐν πυρί. ὁ γὰρ θεὸς ἔδωκεν εἰς τὰς καρ- 17
da eorum facere sententiam eius, & facere sententiam
δίας αὐτῶν ποιῆσαι τὴν γνώμην αὐτοῦ, καὶ ποιῆσαι γνώμην
vnam, & dare regnum suum bestiæ, donec con-
μίαν, καὶ δοῦναι τὴν βασιλείαν αὐτῶν τῷ θηρίῳ, ἄχρι τελε-
summentur verba Dei. Et mulier quam vidisti, est ciuitas
σθήσονται οἱ λόγοι τοῦ θεοῦ. καὶ ἡ γυνὴ ἣν εἶδες, ἔστιν ἡ πόλις 18
magna, habens regnum super reges terræ.
ἡ μεγάλη, ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς.

enim / vt faciāt quod placitū est illi: vt dent / quæ habet

CAP. XVIII. ιη´

Et post hæc vidi alium angelum descendentem de
1 Καὶ μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον καταβαίνοντα ἐκ τοῦ
cælo, habentem potestatem magnam: & terra illuminata est à
οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην· καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς
gloria eius. Et exclamauit in forti voce, dicens, Cecidit, ce-
δόξης αὐτοῦ. καὶ ἔκραξεν ἐν ἰσχυρᾷ φωνῇ, λέγων, ἔπεσεν ἔ- 2
cidit Babylon magna, & facta est habitatio dæmo-
πεσε βαβυλὼν ἡ μεγάλη, καὶ ἐγένετο κατοικητήριον δαιμό-
niorū, & custodia omnis spiritus immundi, & custodia
νων, καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου, καὶ φυλακὴ
omnis volucris immundæ, & odibilis. Quia de ira
παντὸς ὀρνέου ἀκαθάρτου, καὶ μεμισημένου· ὅτι ἐκ τοῦ θυμοῦ 3
vino fornicationis eius biberunt omnes gentes, &
τοῦ οἴνου τῆς πορνείας αὐτῆς πέπωκε πάντα τὰ ἔθνη, καὶ οἱ
reges terræ cum illa fornicati sunt, & mercatores
βασιλεῖς τῆς γῆς μετ' αὐτῆς ἐπόρνευσαν, καὶ οἱ ἔμποροι τῆς
terræ de virtute deliciarum eius diuites facti sunt. Et audiui
γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς ἐπλούτησαν. καὶ ἤκουσα 4
aliam vocem de cælo, dicentem, Exite de illa
ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν, ἐξέλθετε ἐξ αὐτῆς ὁ
populus meus, ne communicetis peccatis eius, &
λαός μου, ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς, καὶ
de plagis eius, vt non accipiatis. Quoniam adhæserunt
ἐκ τῶν πληγῶν αὐτῆς, ἵνα μὴ λάβητε. ὅτι ἐκολλήθησαν 5
eius peccata vsque ad cælum, & recordatus est eius
αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ, καὶ ἐμνημόνευσεν αὐτῆς ὁ
Deus iniustitias eius. Reddite illi sicut & ipsa red-
θεὸς τὰ ἀδικήματα αὐτῆς. ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτὴ ἀ- 6
didit vobis, & duplicate ei duplicia secundum opera eius.
πέδωκεν ὑμῖν, καὶ διπλώσατε αὐτῇ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς·
in poculo quo miscuit, miscete illi duplum.
ἐν τῷ ποτηρίῳ ᾧ ἐκέρασε, κεράσατε αὐτῇ διπλοῦν.
Quanta glorificauit seipsam, & in deliciis fuit, tantum date illi
ὅσα ἐδόξασεν ἑαυτὴν, καὶ ἐστρηνίασε, τοσοῦτον δότε αὐτῇ 7
cruciatum: quia in corde suo dicit, Quia sedeo re-
βασανισμὸν· ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει, ὅτι κάθημαι βα-
gina, & vidua non sum, & luctum non videbo. Propter hoc
σίλισσα, καὶ χήρα οὐκ εἰμὶ, καὶ πένθος οὐ μὴ ἴδω. διὰ τοῦτο 8
in vna die venient plagæ eius, mors, & luctus,
ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς, θάνατος, καὶ πένθος,
& fames, & in igne comburetur: quia fortis Dominus Deus
καὶ λιμὸς, καὶ ἐν πυρὶ κατακαυθήσεται· ὅτι ἰσχυρὸς κύριος ὁ θεὸς
iudicans illam. Et flebunt, & plangent super illam
ὁ κρίνας αὐτήν. καὶ κλαύσονται, καὶ κόψονται ἐπ' αὐτῇ οἱ 9
reges terræ, cum illa fornicantes, & luxurian-
βασιλεῖς τῆς γῆς, οἱ μετ' αὐτῆς πορνεύσαντες καὶ στρηνιάσαν-
tes, cùm viderint fumum incendii eius: A lon-
τες, ὅταν βλέπωσι τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς· ἀπὸ μακρό- 10
ge stantes propter timorem cruciatus eius, dicentes,
θεν ἑστηκότες διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, λέγοντες,
Væ, væ ciuitas illa magna Babylon, ciuitas illa fortis: quoniā
οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη βαβυλὼν, ἡ πόλις ἡ ἰσχυρά· ὅτι
vna hora venit iudicium tuum. Et mercatores terræ plorant,
μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου. καὶ οἱ ἔμποροι τῆς γῆς κλαίουσι 11
& lugent super illam: quoniam merces eorum nemo emit
καὶ πενθοῦσιν ἐπ' αὐτῇ, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει
amplius: Merces auri, & argenti, & lapidis pretiosi, & mar-
οὐκέτι· γόμον χρυσοῦ, καὶ ἀργύρου, καὶ λίθου τιμίου, καὶ μαρ- 12
garitæ, & byssi, & purpuræ, & serici, & coccini: &
γαρίτου, καὶ βύσσου, καὶ πορφύρου, καὶ σηρικοῦ, καὶ κοκκίνου· καὶ
omne lignum thyinum, & omne vas eburneum, & omne vas
πᾶν ξύλον θύϊνον, καὶ πᾶν σκεῦος ἐλεφάντινον, καὶ πᾶν σκεῦος
ex ligno pretioso, & æris, & ferro, & marmore,
ἐκ ξύλου τιμιωτάτου, καὶ χαλκοῦ, καὶ σιδήρου, καὶ μαρμάρου,
Et cinamomum, & suffitus, & vnguentum, & thus, &
καὶ κινάμωμον, καὶ θυμιάματα, καὶ μύρον, καὶ λίβανον, καὶ 13
vinum, & oleum, & similam, & triticum, & iumenta, &
οἶνον, καὶ ἔλαιον, καὶ σεμίδαλιν, καὶ σῖτον, καὶ κτήνη, καὶ πρό-
oues: & equorum, & rhedarum, & mancipiorum, & animas ho-
βατα· καὶ ἵππων, καὶ ῥαιδῶν, καὶ σωμάτων, καὶ ψυχὰς ἀνθρώ-
minum. Et poma desiderii animæ tuæ discesserunt à
πων. καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυχῆς σου ἀπῆλθεν ἀπὸ 14
te, & omnia pinguia & præclara perierunt à te,
σοῦ, καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ ἀπώλετο ἀπὸ σοῦ,

φωτίζω / fortitudine / ποτίζω / participes sitis delictorum / peruenerunt / iniquitatum / κεραννύω / Quantum / tormentum, & luctum / ideo / est / qui iudicabit / κλαίω / qui fornicati sunt, in delitiis vixerunt / στρηνιάω / tormentorum / negotiatores / flebunt / lugebunt / emet / omnia vasa eboris, omnia vasa de lapide / æramento / odoramentorum & vnguēta, & thuris, & vini, & olei, & similæ, & tritici, & iumentorum, & ouiū, animatum

& *non* amplius non *inuenies* illa. Mercatores horum ‖diuites
καὶ οὐκέτι οὐ μὴ εὑρήσῃς αὐτά. οἱ ἔμποροι τούτων οἱ πλουτή- 15
facti, ab ea à longè stabunt propter timorem *cru-
σαντες ἀπ᾽ αὐτῆς ἀπὸ μακρόθεν στήσονται διὰ τὸν φόβον τοῦ βα-
ciatus eius, flentes, ac lugentes; Et dicentes,
σανισμοῦ αὐτῆς, κλαίοντες καὶ πενθοῦντες· καὶ λέγοντες, 16
Væ, væ ciuitas illa magna ‖*circum*amicta bysso, & pur-
οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη ἡ περιβεβλημένη βύσσινον καὶ πορ-
pura & coccino, & deaurata *in* auro & lapide pre-
φυροῦν καὶ κόκκινον, καὶ κεχρυσωμένη ἐν χρυσῷ καὶ λίθῳ τι-
tioso, & margaritis: Quoniam vna hora ‖*desertæ* sunt tantæ di-
μίῳ καὶ μαργαρίταις· ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦ- 17
uitiæ: & omnis gubernator, & omnis *in* ‖*nauibus nauigans*,
τος· καὶ πᾶς κυβερνήτης, καὶ πᾶς ὁ ἐπὶ τῶν πλοίων πλέων,
& nautæ, & *quotquot mare* operantur, à longè ste-
καὶ ναῦται, καὶ ὅσοι τὴν θάλασσαν ἐργάζονται, ἀπὸ μακρόθεν ἔστη-
terunt, Et clamauerunt videntes *fumum* incendij eius,
σαν, καὶ ἔκραζον βλέποντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, 18
dicentes, Quæ similis ciuitati huic magnæ? Et miserunt puluerē
λέγοντες, τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ; καὶ ἔβαλον χοῦν 19
super capita sua, & clamauerunt flentes, & lugentes,
ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἔκραζον κλαίοντες, καὶ πενθοῦντες,
& dicentes, Væ væ ciuitas illa magna, in qua diuites facti sunt om-
καὶ λέγοντες, οὐαὶ οὐαὶ ἡ πόλις ἡ μεγάλη, ἐν ᾗ ἐπλούτησαν πάν-
nes *habentes* naues in mari de *pretio* eius.
τες οἱ ἔχοντες τὰ πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ τῆς τιμιότητος αὐτῆς·
quoniá vna hora desolata est. Exulta super eam cælum, &
ὅτι μιᾷ ὥρᾳ ἠρημώθη. εὐφραίνου ἐπ᾽ αὐτῇ οὐρανέ, καὶ οἱ 20
sancti, & Apostoli, & Prophetæ: quoniam iudicauit Deus
ἅγιοι, καὶ οἱ ἀπόστολοι, καὶ οἱ προφῆται· ὅτι ἔκρινεν ὁ θεὸς τὸ
iudicium vestrum de illa. Et sustulit vnus angelus fortis lapidem
κρίμα ὑμῶν ἐξ αὐτῆς. καὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον 21
quasi molarem magnum, & misit in mare, dicens, *Sic* im-
ὡς μύλον μέγαν, καὶ ἔβαλεν εἰς τὴν θάλασσαν, λέγων, οὕτως ὁρ-
petu mittetur Babylon illa magna ciuitas, & non inue-
μήματι βληθήσεται βαβυλὼν ἡ μεγάλη πόλις, καὶ οὐ μὴ εὑρε-
nietur *amplius*. Et vox citharœdorum, & musicorum, & tibia canentium, &
θῇ ἔτι. καὶ φωνὴ κιθαρῳδῶν, καὶ μουσικῶν, καὶ αὐλητῶν, καὶ 22
clangentium non audietur in te amplius: & omnis artifex omnis
σαλπιστῶν οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι· καὶ πᾶς τεχνίτης πάσης
artis non inuenietur in te amplius: & vox molæ non audietur in
τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι· καὶ φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν
te amplius. Et lux lucernæ non lucebit in te amplius: & vox sponsi
σοὶ ἔτι. καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι· καὶ φωνὴ νυμφίου 23
& sponsæ non audietur in te adhuc: quia mercatores tui erant
καὶ νύμφης οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι· ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ
‖*magnates* terræ, quia in *veneficio tuo* errauerunt
μεγιστᾶνες τῆς γῆς, ὅτι ἐν τῇ φαρμακείᾳ σου [b]ἐπλανήθησαν
omnes gentes: Et in ea *sanguines* Prophetarum & sanctorū
πάντα τὰ ἔθνη· καὶ ἐν αὐτῇ αἵματα προφητῶν καὶ ἁγίων 24
inuentus est, & omnium *mactatorum* in terra.
εὑρέθη, καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.

*inuenient iam ‖qui fuit *tormentorum ‖quæ erat *erat ‖destitutæ *ἐρημόω *qui ‖lacū nauigat, *qui in mari *locum *qui habebant *pretiis *Hos *vltrà iam. *tuba, ‖principes *veneficiis tuis [b]πλανάω *sanguis *qui interfecti sunt

CAP. XIX. ιθ´

Et post hæc audiui quasi vocem *turba multa magnam*
Καὶ μετὰ ταῦτα ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ μεγάλην 1
in cælo, dicentium, Alleluia. *Salus, & vir-
ἐν τῷ οὐρανῷ, λεγόντων, ἀλληλούϊα. ἡ σωτηρία, καὶ ἡ δύνα-
tus, & gloria *Dei nostri. Quia vera & iusta iu-
μις, καὶ ἡ δόξα τοῦ θεοῦ ἡμῶν. ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρί- 2
dicia ‖eius, *quia* iudicauit *meretricem magnam*, quæ corrupit
σεις αὐτοῦ, ὅτι ἔκρινε τὴν πόρνην τὴν μεγάλην, ἥτις [c]διέφθειρε τὴν
terram in *fornicatione* sua, & vindicauit sanguinem seruorum suorū
γῆν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ
de *manu* eius. Et iterum *dixit, Alleluia: & fu-
ἐκ χειρὸς αὐτῆς. καὶ δεύτερον εἴρηκεν, ἀλληλούϊα. καὶ ὁ κα- 3
mus eius ascendit in secula seculorum. Et ceciderunt
πνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. καὶ ἔπεσον 4
seniores vigintiquatuor, & quatuor animalia, &
οἱ πρεσβύτεροι οἱ εἰκοσιτέσσαρες, καὶ τὰ τέσσαρα ζῶα, καὶ
adorauerunt Deum sedentem super thronum, dicen-
προσεκύνησαν τῷ θεῷ τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, λέγον-
tes, Amen. alleluia. Et vox de throno exiuit, di-
τες, ἀμήν· ἀλληλούϊα. καὶ φωνὴ ἐκ τοῦ θρόνου ἐξῆλθε, λέ- 5
cens, *Laudate Deum nostrum* omnes serui eius, & ‖ti-
γουσα, [d]αἰνεῖτε τὸν θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ, καὶ οἱ φο-
mentes eum *parui* & magni. Et audiui quasi vo-
βούμενοι αὐτόν, οἱ μικροὶ καὶ οἱ μεγάλοι. καὶ ἤκουσα ὡς φω- 6
cem turbæ ‖*multa*, & sicut vocem aquarum multarum, & sicut vocem
νὴν ὄχλου πολλοῦ, καὶ ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν
tonitruorum ‖*fortium*, dicentium, Alleluia: quoniam regnauit Dominus
βροντῶν ἰσχυρῶν, λεγόντων, ἀλληλούϊα· ὅτι ἐβασίλευσε κύριος
Deus noster omnipotens. Gaudeamus & exultemus,
ὁ θεὸς ἡμῶν ὁ παντοκράτωρ. χαίρωμεν καὶ [e]ἀγαλλιώμεθα, 7
& demus gloriam ei, quia venerunt nuptiæ Agni, &
καὶ δῶμεν τὴν δόξαν αὐτῷ, ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρνίου, καὶ
vxor eius præparauit seipsam. Et datum est illi vt *ami-
ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν ἑαυτήν. καὶ ἐδόθη αὐτῇ ἵνα πε- 8
ciatur byssino splendēti & candido. *nam* byssinum*,
ριβάληται βύσσινον λαμπρὸν καὶ καθαρόν. τὸ γὰρ βύσσινον,

*turbarū multarum *Laus, *Deo nostro est. ‖sunt *qui *de meretrice magna, [c]διαφθείρω *prostitutione *manibus *dixerunt, *Laudem dicite Deo nostro ‖qui timetis [d]αἰνέω *pusilli ‖magnæ, ‖magnorum, [e]ἀγαλλιάομαι *cooperiat se *enim,

iustificationes sanctorum sunt. Et *dicit* mihi, Scribe, Bea-
9 τὰ δικαιώματά ἐστι τῶν ἁγίων. καὶ λέγει μοι, γράψον, μα-
ri ‖*illi* ad cænam nuptiarum Agni vocati*. & dicit
κάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι. καὶ λέγει
mihi, Hæc verba vera sunt Dei. Et cecidi an-
10 μοι, οὗτοι οἱ λόγοι ἀληθινοί εἰσι τοῦ θεοῦ. καὶ ἔπεσον ἔμπρο-
te pedes eius *adorare* eum: & dicit mihi, Vide
σθεν τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ· καὶ λέγει μοι, ὅρα
ne ‖: conseruus tuus sum, & fratrum tuorum habentium
μή· σύνδουλός σου εἰμί, καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν
testimonium Iesu. Deum adora: *nam* testimonium*
μαρτυρίαν ἰησοῦ· τῷ θεῷ προσκύνησον· ἡ γὰρ μαρτυρία τοῦ
Iesu, est spiritus prophetiæ. Et vidi cælum
11 ἰησοῦ ἐστι τὸ πνεῦμα τῆς προφητείας. καὶ εἶδον τὸν οὐρανὸν
apertum: & ecce equus albus, & ‖*sedens* super eum
ἀνεῳγμένον, καὶ ἰδοὺ ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ᾽ αὐτὸν
vocatus Fidelis & Verax, & *in* iustitia iudicat &
καλούμενος πιστὸς καὶ ἀληθινός, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ
belligerat. *At* oculi* eius *flamma ignis, & in ca-
12 πολεμεῖ. οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ φλὸξ πυρός, καὶ ἐπὶ τὴν κε-
pite eius diademata multa: habens *nomina scri-
φαλὴν αὐτοῦ διαδήματα πολλά· ἔχων ὀνόματα γεγραμμέ-
pta, & nomen scriptum, quod nemo nouit nisi ipse.
να, καὶ ὄνομα γεγραμμένον, ὃ οὐδεὶς οἶδεν εἰ μὴ αὐτός.
Et *circumindutus vestimentum tinctum* sanguine: & vo-
13 καὶ περιβεβλημένος ἱμάτιον βεβαμμένον αἵματι· καὶ κα-
catur nomen eius, Verbum Dei. Et exercitus
14 λεῖται τὸ ὄνομα αὐτοῦ, ὁ λόγος τοῦ θεοῦ. καὶ τὰ στρατεύματα
qui* in cælo, sequebantur eum in equis albis, *in-
τὰ ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ ἐπὶ ἵπποις λευκοῖς, [f]ἐνδε-
duti byssino albo ‖mundo. Et de ore eius
15 δυμένοι βύσσινον λευκὸν καθαρόν. καὶ ἐκ τοῦ στόματος αὐτοῦ
procedit gladius ‖*anceps*, acutus, vt in ipso percutiat
ἐκπορεύεται ῥομφαία δίστομος, ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάξῃ
Gentes: & ipse ‖*pascet* eas in virga ferrea: &
τὰ ἔθνη· καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· καὶ
ipse calcat ‖*lacum* vini furoris iræ Dei
αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τοῦ θεοῦ τοῦ
omnipotentis. Et habet in vestimento & in femore
16 παντοκράτορος. καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν
suo *nomen* scriptum, Rex regum, & Dominus *do-
αὐτοῦ ὄνομα γεγραμμένον, βασιλεὺς βασιλέων, καὶ κύριος κυ-
minorum. Et vidi vnum angelum stantem in sole, & clamauit
17 ρίων. καὶ εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ, καὶ ἔκραξε
voce magna, dicens omnibus auibus *volantibus in*
φωνῇ μεγάλῃ, λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς πετομένοις ἐν
‖*medio* cæli, Venite *congregamini ad cænam magnam
μεσουρανήματι, δεῦτε [g]συνάχθητε εἰς τὸ δεῖπνον τὸ μέγα τοῦ
Dei: Vt manducetis carnes regum, & carnes tribuno-
18 θεοῦ· ἵνα φάγητε σάρκας βασιλέων, καὶ σάρκας χιλιάρ-
rum, & carnes fortium, & carnes equorum, & seden-
χων, καὶ σάρκας ἰσχυρῶν, καὶ σάρκας ἵππων, καὶ τῶν καθημέ-
tium in ipsis, & carnes omnium, liberorum*que* & seruorum,
νων ἐπ᾽ αὐτῶν, καὶ σάρκας πάντων, ἐλευθέρων τε καὶ δούλων,
paruorumque & magnorum. Et vidi bestiam, & re-
19 μικρῶν τε καὶ μεγάλων. καὶ εἶδον τὸ θηρίον, καὶ τοὺς βασι-
ges terræ, & exercitus eorum congregatos ‖*facere*
λεῖς τῆς γῆς, καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι
prælium cum *sedente* in equo, & cum exer-
πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, καὶ μετὰ τοῦ στρατεύ-
citu eius. Et apprehensa est bestia, & cum ea pseu-
20 ματος αὐτοῦ. καὶ [a]ἐπιάσθη τὸ θηρίον, καὶ μετ᾽ αὐτοῦ ὁ ψευ-
dopropheta, qui fecit signa coram ipso, *in* quibus sedu-
δοπροφήτης ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐπλά-
xit ‖*accipientes* characterem bestiæ, & *ado-
νησε τοὺς λαβόντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς προσκυ-
rantes imaginem eius. viui missi sunt hi duo in
νοῦντας τῇ εἰκόνι αὐτοῦ· ζῶντες [b]ἐβλήθησαν οἱ δύο εἰς τὴν
stagnum ignis *ardens in sulphure*. Et cæteri occisi
21 λίμνην τοῦ πυρὸς τὴν καιομένην ἐν θείῳ. καὶ οἱ λοιποὶ ἀπε-
sunt in gladio sedentis super equum,
κτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ
procedente de ore ipsius: & omnes aues satu-
ἐξελθούσῃ ἐκ τοῦ στόματος αὐτοῦ· καὶ πάντα τὰ ὄρνεα ἐχορ-
ratæ sunt *ex* carnibus eorum.
τάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.

CAP. XX. κ´

Et vidi angelum descendentem de cælo, habentem
1 Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα τὴν
clauem abyssi, & catenam magnam in manu sua.
κλεῖν τῆς ἀβύσσου, καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ.
Et apprehendit draconem, serpentem antiquum, qui est dia-
2 καὶ ἐκράτησε τὸν δράκοντα, τὸν ὄφιν τὸν ἀρχαῖον, ὅς ἐστι διά-
bolus & Satanas, *seducens habitatam totum*, & ligauit
βολος καὶ ὁ σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, καὶ ἔδησεν
eum ‖mille annos, Et misit eum in abyssum, & clau-
3 αὐτὸν χίλια ἔτη. καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλει-
sit, & signauit super illum, vt non seducat amplius gentes,
σε, καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανᾷ ἔτι τὰ ἔθνη,

dixit ‖qui *sunt. *vt adorarem ‖feceris: *enim ‖qui sedebat *vocabatur *cum *pugnat. *autem *sicut *vestitus erat veste aspersa *sunt *vestiti [f]ἐνδύομαι ‖& ‖ex vtraq; parte ‖reget ‖torcular *dominantiū. *quæ volabant per ‖medium *& [g]συνάγω ‖& pusillorum ‖ad faciendum *illo qui sedebat [a]πιάομαι ‖eos qui acceperunt *qui adorauerunt [b]βάλλομαι *ardentis & sulphuris. *qui procedit ‖per

donec consummentur mille anni: & post hæc oportet illum solui
ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· καὶ μετὰ ταῦτα δεῖ αὐτὸν λυθῆναι
paruum tempus. Et vidi thronos, & sederunt super eos, &
μικρὸν χρόνον. καὶ εἶδον θρόνους, καὶ ἐκάθισαν ἐπ᾽ αὐτούς, καὶ 4
iudicium datum est illis. & animas securi percussorum propter
κρίμα ἐδόθη αὐτοῖς· καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ
testimonium Iesu, & propter verbum Dei, & qui non
τὴν μαρτυρίαν Ἰησοῦ, καὶ διὰ τὸν λόγον τοῦ θεοῦ, καὶ οἵτινες οὐ
adorauerunt bestiam, neque imaginem eius, & non acceperunt
προσεκύνησαν τῷ θηρίῳ, οὔτε τῇ εἰκόνι αὐτοῦ, καὶ οὐκ ἔλαβον
characterem in frontem suam, & in manum suam:
τὸ χάραγμα ἐπὶ τὸ μέτωπον αὐτῶν, καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν·
& vixerunt, & regnauerunt cum Christo mille annis. Et cæ-
καὶ ἔζησαν, καὶ ἐβασίλευσαν μετὰ τοῦ Χριστοῦ χίλια ἔτη. καὶ οἱ λοι- 5
teri mortuorum non vixerunt donec consummentur mille anni. hæc illa
ποὶ τῶν νεκρῶν οὐκ ἔζησαν ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· αὕτη ἡ
resurrectio prima. Beatus & sanctus habens partem in
ἀνάστασις ἡ πρώτη. μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ 6
resurrectione prima: in his secunda mors non habet
ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων ὁ δεύτερος θάνατος οὐκ ἔχει
potestatem: sed erunt sacerdotes Dei, & Christi: & regnabunt
ἐξουσίαν· ἀλλ᾽ ἔσονται ἱερεῖς τοῦ θεοῦ, καὶ τοῦ Χριστοῦ, καὶ βασιλεύσουσι
cum illo mille annis. Et cùm cōsummati fuerint mille anni, solue-
μετ᾽ αὐτοῦ χίλια ἔτη. καὶ ὅταν τελεσθῇ τὰ χίλια ἔτη, λυθή- 7
tur Satanas de carcere suo: & exibit seducere
σεται ὁ σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ· καὶ ἐξελεύσεται πλανῆσαι
Gentes quæ in quatuor angulis terræ, Gog & Ma-
τὰ ἔθνη τὰ ἐν ταῖς τέσσαρσι γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ τὸν Μα-
gog, congregare eos in prælium: quorum numerus sicut
γώγ, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον· ὧν ὁ ἀριθμὸς ὡς ἡ
arena maris. Et ascenderunt super latitudinem terræ, &
ἄμμος τῆς θαλάσσης. καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς, καὶ 8
circuierunt castra sanctorum, & ciuitatem dile-
ἐκύκλευσαν τὴν παρεμβολὴν τῶν ἁγίων, καὶ τὴν πόλιν τὴν ἠγαπη-
ctam. Et descendit ignis de cælo à Deo, & deuo-
μένην. καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ, καὶ κατέ- 9
rauit eos. Et diabolus seducens eos, missus est in
φαγεν αὐτούς. καὶ ὁ διάβολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη εἰς τὴν 10
stagnum ignis & sulphuris, vbi & bestia & pseudopro-
λίμνην τοῦ πυρὸς καὶ θείου, ὅπου καὶ τὸ θηρίον καὶ ὁ ψευδοπρο-
pheta & cruciabuntur die ac nocte in secula
φήτης, καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν
seculorum. Et vidi thronum magnum candidum, & sedentem
αἰώνων. καὶ εἶδον θρόνον μέγαν λευκόν, καὶ τὸν καθήμενον 11
super eum, cuius à conspectu fugit cælum & terra, & locus
ἐπ᾽ αὐτῷ, οὗ ἀπὸ προσώπου ἔφυγεν ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ τόπος
non est inuentus eis. Et vidi mortuos, magnos, &
οὐχ εὑρέθη αὐτοῖς. καὶ εἶδον τοὺς νεκρούς, τοὺς μεγάλους, καὶ τοὺς 12
paruos stantes in conspectu throni, & libri aperti sunt: &
μικροὺς ἑστῶτας ἐνώπιον τοῦ θρόνου, καὶ βιβλία ἀνεῴχθησαν· καὶ
alius liber apertus est, qui est vitæ: & iudicati sunt mortui
ἄλλο βιβλίον ἀνεῴχθη, ὅ ἐστι τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νεκροὶ
ex scriptis in libris, secundum opera ipsorum.
ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις, κατὰ τὰ ἔργα αὐτῶν.
Et dedit mare eos qui in eo mortuos, & mors
καὶ ἔδωκεν ἡ θάλασσα τοὺς ἐν αὐτῇ νεκρούς, καὶ ὁ θάνατος 13
& infernus dederunt suos ipsorum mortuos: & iudicati sunt vnusquisque secundū
καὶ ὁ ᾅδης ἔδωκαν τοὺς ἑαυτῶν νεκρούς· καὶ ἐκρίθησαν ἕκαστος κατὰ
opera ipsorum. Et mors & infernus missi sunt in
τὰ ἔργα αὐτῶν. καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἐβλήθησαν εἰς τὴν 14
stagnum ignis: hæc est mors secunda, stagnum
λίμνην τοῦ πυρός· οὗτός ἐστιν ὁ θάνατος ὁ δεύτερος ἡ λίμνη
ignis. Et si quis non inuentus est in libro vitæ scri-
τοῦ πυρός. καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γε-
ptus, missus est in stagnum ignis.
γραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.

Marginal notes: λύω · modico tempore. · sedes: eas, · decollatorum · πελεκίζω · nec · eius · frontibus aut manibus suis: · est · qui habet · & seducet · sunt super · angulos · & cōgregabit · est · qui seducebat · φεύγω · pusillos · his quæ scripta erant · erant · suos qui in ipsis erant · iudicatum est de singulis · qui

CAP. XXI. κα´

Et vidi cælum nouum, & terram nouam: nam primum cæ-
Καὶ εἶδον οὐρανὸν καινόν, καὶ γῆν καινήν. ὁ γὰρ πρῶτος οὐρα- 1
lum, & prima terra abiit, & mare non est iam.
νὸς καὶ ἡ πρώτη γῆ παρῆλθε, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι.
Et ciuitatem sanctam Hierusalem nouam vidi descen-
καὶ τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινὴν εἶδον καταβαίνου- 2
dentem à Deo de cælo paratam, sicut sponsam or-
σαν ἀπὸ τοῦ θεοῦ ἐκ τοῦ οὐρανοῦ ἡτοιμασμένην, ὡς νύμφην κε-
natam viro suo. Et audiui vocem magnam
κοσμημένην τῷ ἀνδρὶ αὐτῆς. καὶ ἤκουσα φωνῆς μεγάλης 3
de cælo, dicentem, Ecce tabernaculum Dei cum hominibus,
ἐκ τοῦ οὐρανοῦ, λεγούσης, ἰδοὺ ἡ σκηνὴ τοῦ θεοῦ μετὰ τῶν ἀνθρώπων,
& habitabit cum eis: & ipsi populus eius erunt, & ipse
καὶ σκηνώσει μετ᾽ αὐτῶν· καὶ αὐτοὶ λαὸς αὐτοῦ ἔσονται, καὶ αὐτὸς
Deus erit cum eis. Et absterget omnem lachrymam ab
ὁ θεὸς ἔσται μετ᾽ αὐτῶν. καὶ ἐξαλείψει πᾶν δάκρυον ἀπὸ 4
oculis eorum, & mors non erit vltrà, neque luctus,
τῶν ὀφθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος,
neque clamor, neque dolor non erit vltrà: quia prima abierunt.
οὔτε κραυγή, οὔτε πόνος οὐκ ἔσται ἔτι, ὅτι τὰ πρῶτα ἀπῆλθον.
Et dixit sedens in throno, Ecce noua facio omnia.
Καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τοῦ θρόνου, ἰδοὺ καινὰ ποιῶ πάντα. 5
& dicit mihi, Scribe: quia hæc verba vera & fidelia sunt.
καὶ λέγει μοι, γράψον· ὅτι οὗτοι οἱ λόγοι ἀληθινοὶ καὶ πιστοί εἰσι.
Et dixit mihi, factus sum alpha & ω, initium & finis: ego
καὶ εἶπέ μοι, γέγονα τὸ α καὶ τὸ ω, ἀρχὴ καὶ τέλος· ἐγὼ 6
sitienti dabo de fonte aquæ vitæ gratis.
τῷ διψῶντι δώσω ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δωρεάν.
Vincens possidebit hæc: & ero illi Deus, & il-
ὁ νικῶν κληρονομήσει ταῦτα, καὶ ἔσομαι αὐτῷ θεός, καὶ αὐ- 7
le erit mihi filius. At timidis, & incredulis, & pecca-
τὸς ἔσται μοι υἱός. τοῖς δὲ δειλοῖς, καὶ ἀπίστοις, καὶ ἁμαρτω- 8
toribus, & abominandis, & homicidis, & fornicatoribus, & veneficis,
λοῖς, καὶ ἐβδελυγμένοις, καὶ φονεῦσι, καὶ πόρνοις, καὶ φαρμακοῖς,
& idololatris, & omnibus mendacibus, pars illorum in
καὶ εἰδωλολάτραις, καὶ πᾶσι τοῖς ψευδέσι, τὸ μέρος αὐτῶν ἐν
stagno ardenti igne & sulphure, quod est mors se-
τῇ λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ, ὅ ἐστιν ὁ θάνατος ὁ δεύ-
cunda. Et venit vnus de septem angelis habentibus
τερος. καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς 9
septem phialas plenas septem plagis nouissimis, & locutus est
ἑπτὰ φιάλας γεμούσας τῶν ἑπτὰ πληγῶν τῶν ἐσχάτων, καὶ ἐλάλησε
mecum, dicens, Veni, ostendam tibi vxorem, sponsam
μετ᾽ ἐμοῦ, λέγων, δεῦρο, δείξω σοι τὴν γυναῖκα, τὴν νύμφην τοῦ
Agni. Et sustulit me in spiritu in montem magnum & al-
ἀρνίου. καὶ ἀπήνεγκέ με ἐν πνεύματι ἐπ᾽ ὄρος μέγα καὶ ὑψη- 10
tum, & ostendit mihi ciuitatem magnam sanctam Hierusalem des-
λόν, καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν μεγάλην ἁγίαν Ἱερουσαλὴμ κα-
cendentem de cælo à Deo: Habentem gloriam
ταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θεοῦ· ἔχουσαν τὴν δόξαν τοῦ 11
Dei: lumen eius simile lapidi preciosissimo, tanquam lapidi ia-
θεοῦ· ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰά-
spidi cristallizanti: habentem murum magnum & altum:
σπιδι κρυσταλλίζοντι· ἔχουσαν τεῖχος μέγα καὶ ὑψηλόν·
Habentem portas duodecim, & in portis angelos
ἔχουσαν πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους 12
duodecim, & nomina inscripta, quæ sunt duodecim tri-
δώδεκα, καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστι τῶν δώδεκα φυ-
buum filiorum Israel. Ab orientibus portæ tres, &
λῶν τῶν υἱῶν Ἰσραήλ. ἀπὸ ἀνατολῶν πυλῶνες τρεῖς, καὶ 13
ab aquilone portæ tres, & ab Austro portæ tres, & ab
ἀπὸ βορρᾶ πυλῶνες τρεῖς, καὶ ἀπὸ νότου πυλῶνες τρεῖς, καὶ ἀπὸ
occasibus portæ tres. Et murus ciuitatis habens funda-
δυσμῶν πυλῶνες τρεῖς. καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμε- 14
menta duodecim, & in ipsis duodecim nomina duodecim Apo-
λίους δώδεκα, καὶ ἐπ᾽ αὐτῶν δώδεκα ὀνόματα τῶν δώδεκα ἀπο-
stolorum Agni. Et loquens mecum habebat mensuram calamum
στόλων τοῦ ἀρνίου. καὶ ὁ λαλῶν μετ᾽ ἐμοῦ εἶχε μέτρον κάλαμον 15
aureum, vt metiretur ciuitatem, & portas eius.
χρυσοῦν, ἵνα μετρήσῃ τὴν πόλιν καὶ τοὺς πυλῶνας αὐτῆς.
Et ciuitas quadrangularis sita est, & longitudo eius quanta
καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς ὅσον τὸ 16
latitudo: & mensus est ciuitatem calamo ad stadia duo-
πλάτος· καὶ ἐμέτρησε τὴν πόλιν τῷ καλάμῳ ἐπὶ σταδίους δώδε-
decim millium duodecim. longitudo, & latitudo, & altitudo eius
κα χιλιάδων δώδεκα. τὸ μῆκος, καὶ τὸ πλάτος, καὶ τὸ ὕψος αὐτῆς
æqualia sunt. Et mensus est murum eius centum quadraginta
ἴσα ἐστί. καὶ ἐμέτρησε τὸ τεῖχος αὐτῆς ἑκατὸν τεσσαράκοντα 17
quatuor cubitorum, mensura hominis, quæ est angeli. Et erat
τεσσάρων πηχῶν, μέτρον ἀνθρώπου, ὅ ἐστιν ἀγγέλου. καὶ ἦν ἡ 18
structura muri eius iaspis: & ciuitas aurum mun-
ἐνδόμησις τοῦ τείχους αὐτῆς ἴασπις· καὶ ἡ πόλις χρυσίον καθα-
dum, simile vitro mundo. Et fundamenta muri ciui-
ρόν, ὅμοιον ὑάλῳ καθαρῷ. καὶ οἱ θεμέλιοι τοῦ τείχους τῆς πό- 19
tatis, omni lapide pretioso ornata: fundamentum primum,
λεως παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος,
iaspis: secundum, sapphirus: tertium, chalcedonius: quar-
ἴασπις· ὁ δεύτερος, σάπφειρος· ὁ τρίτος, χαλκηδών· ὁ τέταρ-
tum, smaragdus: Quintum, sardonyx: sextum, sardius:
τος, σμάραγδος· ὁ πέμπτος, σαρδόνυξ· ὁ ἕκτος, σάρδιος· 20
septimum, chrysolithus: octauum beryllus: nonum, topa-
ὁ ἕβδομος, χρυσόλιθος· ὁ ὄγδοος, βήρυλλος· ὁ ἔνατος, τοπά-
zius: decimum, chrysoprasus: vndecimum, hyacinthus: duo-
ζιον· ὁ δέκατος, χρυσόπρασος· ὁ ἑνδέκατος, ὑάκινθος· ὁ δω-
decimum, amethystus. Et duodecim portæ, duodecim mar-
δέκατος, ἀμέθυστος. καὶ οἱ δώδεκα πυλῶνες, δώδεκα μαρ- 21
garitæ, vnaquaque portarum erat ex vna margarita.
γαρῖται, ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου·
& platea ciuitatis aurum mundum, tanquam vitrū perlucidū.
καὶ ἡ πλατεῖα τῆς πόλεως χρυσίον καθαρόν, ὡς ὕελος διαυγής.
Et templum non vidi in ea: nam Dominus Deus omnipo-
καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ· ὁ γὰρ κύριος ὁ θεὸς ὁ παντοκρά- 22
tens, templum illius est, & Agnus. Et ciuitas non opus habet
τωρ, ναὸς αὐτῆς ἐστι, καὶ τὸ ἀρνίον. καὶ ἡ πόλις οὐ χρείαν ἔχει 23
sole, neque luna, vt luceant in ea: nam gloria
τοῦ ἡλίου, οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν ἐν αὐτῇ· ἡ γὰρ δόξα τοῦ
Dei illuminauit eam, & lucerna eius Agnus. Et am-
θεοῦ ἐφώτισεν αὐτήν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον. καὶ περι- 24
bulabunt Gentes per lumen eius: & reges
πατήσουσι τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς· καὶ οἱ βασιλεῖς τῆς
terræ afferent gloriam & honorem suum in illam.
γῆς φέρουσι τὴν δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν.

Marginal notes: enim · ego Ioannes · κοσμέομαι · throno, · eorum Deus · qui sedebat · dixit · fidelissima, · Factū est. ego · Qui vicerit · autem, · execratis, · eris · & · διαφέρω · claritatem · & pretioso, · iaspidis, sicut crystallum: · & habebat · nomina · oriente · occasu, · qui loquebatur · arundineam auream, · & murum. · μετρέω · in quadro posita · tanta est · & · de arūdine per · millia: & · ex lapide iaspide: ipsa verò · sunt, per singulas: & singulæ portæ, erant ex singulis margaritis. · enim · eget · claritas · est · in lumine · suam

Et portæ eius non claudentur ‖die. nox enim non
25 καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας. νὺξ γὰρ οὐκ
erit illic. Et afferent gloriam & honorem Gentium
26 ἔσται ἐκεῖ. καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν
in illam. Et non intrabit in eam ‖omne commune, &
27 εἰς αὐτήν. καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν, καὶ
faciens abominationem & mendacium, *si non* scripti in
ποιοῦν βδέλυγμα καὶ ψεῦδος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ
libro vitæ Agni.
βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου.

CAP. XXII. κβ´

Et ostendit mihi fluuium *purum* aquæ vitæ, splendidum
1 Καὶ ἔδειξέ μοι ποταμὸν καθαρὸν ὕδατος ζωῆς, λαμπρὸν
tanquam crystallum, procedentem de ‖*throno* Dei, & Agni.
ὡς κρύσταλλον, ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ θεοῦ, καὶ τοῦ ἀρνίου.
In medio plateæ eius, & "fluminis, *hinc* &
2 ἐν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ, ἐντεῦθεν καὶ ἐν-
hinc lignum vitæ, ‖*faciens* fructus duodecim, per *mensem vnumquemque*
τεῦθεν ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕκαστον
reddens fructum suum: & folia ligni ad sani-
ἀποδιδοῦς τὸν καρπὸν αὐτοῦ· καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θερα-
tatem Gentium. Et omne maledictum non erit "*illic*: &
πείαν τῶν ἐθνῶν. 3 καὶ πᾶν κατάθεμα οὐκ ἔσται ἐκεῖ· καὶ ὁ
"*thronus* Dei & Agni in illa erunt: & serui eius ser-
θρόνος τοῦ θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται· καὶ οἱ δοῦλοι αὐτοῦ λα-
uient illi. Et videbunt faciem eius: & no-
τρεύσουσιν αὐτῷ. 4 καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ· καὶ τὸ ὄνο-
men eius in frontibus eorum. Et nox non erit "*illic*, &
μα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. 5 καὶ νὺξ οὐκ ἔσται ἐκεῖ, καὶ
opus non ‖*habent lucerna*, & lumine solis: quoniam Dominus Deus illu-
χρείαν οὐκ ἔχουσι λύχνου, καὶ φωτὸς ἡλίου· ὅτι κύριος ὁ θεὸς φω-
minabit illos: & regnabunt in secula seculorum.
τίζει αὐτούς· καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Et "*dicit* mihi, Hæc verba ‖*fidelia* & vera: & Dominus
6 καὶ λέγει μοι, οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί· καὶ κύριος ὁ
Deus spirituum prophetarum misit angelum suum
θεὸς τῶν πνευμάτων τῶν προφητῶν ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ
ostendere seruis suis quæ oportet fieri "*in celeritate*. Ecce ve-
δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει. 7 ἰδοὺ ἔρχο-
nio velociter. beatus "*custodiens* verba prophetiæ
μαι ταχύ. μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ
libri huius. Et ego Ioannes "*audiens & videns* hæc.
βιβλίου τούτου. 8 κἀγὼ ἰωάννης ὁ ἀκούων καὶ βλέπων ταῦτα·
& postquā audissem & vidissem, cecidi "*adorare* ante
καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσον προσκυνῆσαι ἔμπροσθεν τῶν
pedes angeli, ‖*ostendentis* mihi hæc. Et *dicit* mihi, Vide
ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύοντός μοι ταῦτα. 9 καὶ λέγει μοι, ὅρα
ne: conseruus" tuus sum, & fratrum tuorum prophetarum, *seruan-*
μή· σύνδουλός σου εἰμὶ, καὶ τῶν ἀδελφῶν σου τῶν προφητῶν, τῶν τη-

‖per diem. *κλείω ‖aliquid coinquinatum, aut nisi qui sunt ‖sede ‖ex vtraque parte ‖afferens ‖menses singulos ‖amplius: ‖sedes ‖vltra, ‖egebūt lumine lucernæ, neque ᵇφωτίζω ‖dixit ‖fidelissima sunt, ‖citò. Et *δείκνυμι ‖qui custodit ‖qui audiui, & vidi ‖vt adorarem ‖qui ostēdebat *dixit ‖feceris: ‖enim ‖& eorum qui seruant

tium verba* libri huius. Deum adora.
ρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου. τῷ θεῷ προσκύνησον.
Et dicit mihi, Ne signaueris verba prophetiæ
10 καὶ λέγει μοι, μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ
libri huius: *quia* tempus‖ propè est. *Nocens* no-
11 βιβλίου τούτου· ὅτι ὁ καιρὸς ἐγγύς ἐστιν. ὁ ἀδικῶν ἀδικησά-
ceat adhuc, & "*sordidus* sordescat adhuc, & *iustus* iustitiam
τω ἔτι, καὶ ὁ ῥυπαρὸς ῥυπαρευθήτω ἔτι· καὶ ὁ δίκαιος δικαιοσύνην
faciat adhuc, & sanctus sanctificetur adhuc. Ecce venio ci-
12 ποιησάτω ἔτι, καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι. ἰδοὺ ἔρχομαι τα-
tò, & merces mea cum me, reddere vnicuique ‖*vt opus erit*
χὺ, καὶ ὁ μισθός μου μετ᾽ ἐμοῦ, ἀποδοῦναι ἑκάστῳ ὡς τὸ ἔργον ἔσται
eius. Ego* alpha & *ω*, principium & finis, primus &
13 αὐτοῦ. ἐγώ τὸ α καὶ τὸ ω, ἀρχὴ καὶ τέλος, ὁ πρῶτος καὶ ὁ
nouissimus. Beati *facientes mandata sua*, vt sit
14 ἔσχατος. μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἔσται
potestas eorum in ligno vitæ, & ‖*portis* in-
ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξύλον τῆς ζωῆς, καὶ τοῖς πυλῶσιν εἰσέλ-
trent in ciuitatem. Foris canes, & venefici, &
15 θωσιν εἰς τὴν πόλιν. ἔξω οἱ κύνες, καὶ οἱ φαρμακοὶ, καὶ οἱ
‖*fornicatores*, & homicidæ, & "*idololatræ*, & omnis *amans* &
πόρνοι, καὶ οἱ φονεῖς, καὶ οἱ εἰδωλολάτραι, καὶ πᾶς φιλῶν καὶ
**faciens* mendacium. Ego Iesus misi angelum meum testifi-
16 ποιῶν ψεῦδος. ἐγὼ ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου μαρτυρῆ-
cari vobis hæc in ecclesiis. Ego sum radix & genus
σαι ὑμῖν ταῦτα ἐπὶ ταῖς ἐκκλησίαις. ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος
Dauid, stella splendida *matutina. Et Spiritus &
17 τοῦ δαβὶδ, ὁ ἀστὴρ ὁ λαμπρὸς ὁ πρωϊνός. καὶ τὸ πνεῦμα καὶ
sponsa dicunt, Veni. & *audiens* dicat, Veni. & *sitiens*
ἡ νύμφη λέγουσιν, ἔρχου. καὶ ὁ ἀκούων εἰπάτω, ἔρχου. καὶ ὁ διψῶν
veniat, ‖*volens* accipiat aquam vitæ gratis. Contestor"
18 ἐρχέσθω, ὁ θέλων λαβέτω ὕδωρ ζωῆς δωρεάν. μαρτυροῦ-
ego omni audienti verba prophetiæ libri huius:
μαι ἐγὼ παντὶ ἀκούοντι τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου·
Si quis apposuerit ad hæc, apponet super illum Deus *septem*
ἐάν τις ἐπιθῇ ἐπ᾽ αὐτὰ, ἐπιθήσαι ἐπ᾽ αὐτὸν ὁ θεὸς τὰς ἑπτὰ
plagas scriptas in libro isto. Et si quis
19 πληγὰς τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τούτῳ. καὶ ἐάν τις
**abstulerit* de verbis libri prophetiæ huius, auferet
ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης, ἀφέλοι
Deus partem eius de "*ligno* vitæ, & de ciuitate
ὁ θεὸς τὸ μέρος αὐτοῦ ἀπὸ τοῦ *ξύλου τῆς ζωῆς, καὶ ἐκ τῆς πόλεως τῆς
sancta, **scriptu* in libro isto. Dicit ‖*te-*
20 ἁγίας, τῶν γεγραμμένων ἐν τῷ βιβλίῳ τούτῳ. λέγει ὁ μαρ-
stans hæc. etiam venio citò. amen. *etiam* veni Domine Iesu.
τυρῶν ταῦτα· ναὶ ἔρχομαι ταχύ· ἀμήν. ναὶ, ἔρχου κύριε ἰησοῦ.
Gratia Domini* Iesu Christi cum omnibus *sanctis*. amen.
21 ἡ χάρις τοῦ κυρίου ἰησοῦ χριστοῦ μετὰ πάντων τῶν ἁγίων. ἀμήν.

*prophetiæ ‖enim *Qui nocet "qui in sordibus est, *qui est ‖iustificetur *est, ‖secundum opera sua, *sum *qui lauant stolas suas: ‖per portas ‖impudici, "idolis seruientes, *qui amat *facit *& *qui audit, *qui sitit, ‖& qui vult "enim *diminuerit "libro *βίβλου *& de his quæ scripta sunt ‖qui testimonium perhibet istorum. *nostri *vobis.

FINIS.

ΤΕΛΟΣ.

NOVUM hoc testamentum Græcum cum interpretatione Latina de verbo reddita, à CHRISTOPHORO PLANTINO, sumptu & diligentia penè incredibili excusum, BENEDICTUS ARIAS MONTANUS doctor Theologiæ, atque ad id operis à Philippo II. Hispaniarum Rege legatus, singulis ad vnguem examinatis, quidquid in hoc opere Christianæ Reip. exhibetur, approbauit. Datum Antuerpiæ Calend. Decembr. Anno à Christo nato CIƆ IƆ LXXI.

B. Arias Montanus

HANC Noui Testamenti Latinam interpretationem quam ad Græci idiomatis ratione, & proprietatem expendit, atque inter Græci contextus lineas describendam curauit D. Bened. Arias Montanus Hispalensis, Philippi II. Catholici Regis legatus, nos infrascripti Theologi, quibus ex eiusdē Regis mandato à Louaniensi Academia id muneris commissum fuerat, examinauimus; & ad Græci contextus phrases faciliùs percipiendas, Latinamque editionē vulgatam multis in locis illustrandam, vtilem iudicauimus. Actum Louanii VIII. Calendas Apriles, Anno CIƆ IƆ LXXI.

Augustinus Hunnæus S. Theol. Doctor & Professor Regius.
Cornelius Reyneri Goudanus S. Theol. ordinarius Professor.
Joannes VVilhelm. Harlemius S. Theologiæ Licentiatus.